23

Γραμματική

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

1940

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

## ΧΑΡΑΛΑΜΠΟΥΣ

ΤΟΥ

ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΨΑΛΛΟΜΕΝΗ Τῌ ΔΕΚΑΤῌ

ΤΟΥ ΦΕΥΡΟΥΑΡΙΟΥ ΜΗΝΟΣ.

ΣΥΝΤΕΘΕΙΣΑ ΠΑΡΑ

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΤΡΑΠΕΖΟΥΝΤΙΟΥ

ΔΗΜ. ΑΘΗ...
2906
ΒΙΒΛΙΟΘΗΚΗ
ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
...ΣΟΦΙΑ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΕΝΕΤΙῌΣΙΝ.

ΠΑΡΑ ΝΙΚΟΛΑῼ ΓΛΥΚΕΙ Τῼ ΕΞ ΙΩΑΝΝΙΝΩΝ.

1814.



ΜΗΝ ΦΕΥΡΟΥΑΡΙΟΣ Ι'.

# ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ
# ΧΑΡΑΛΑΜΠΟΥΣ
# ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

*Ἐν τῷ μικρῷ Ἑσπερινῷ μετὰ τὸν προοιμιακὸν Ψαλμόν, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, γ'. δευτεροῦντες τὸ ά.*

*Ποίημα Γεωργίου Τραπεζουντίου, ἦχος ά.*
*Τῶν Οὐρανίων ταγμάτων.*

Τῶν Οὐρανίων τὰ κάλλη ποθήσας ἔνδοξε, καὶ τῷ Χριστῷ συνεῖναι, μετ' Ἁγίων Ἀγγέλων, παντοίας τὰς βασάνους ὑπέστης στεῤῥῶς, καὶ τυράννων ὠμότητα, καὶ μαρτυρήσας γενναίως, ὑπὲρ Χριστοῦ, συνευφραίνῃ τοῖς Μαρτύρων χοροῖς.

Μαρμαρυγαῖς ἀκηράτοις καταστραπτόμενος, τοῦ νοητοῦ Ἡλίου, ὦ Χαράλαμπες μάκαρ, ὁλόφωτος ἐδείχθης Μάρτυς Χριστοῦ, Ἱερεὺς τ' ἐννομώτατος. διὸ Χριστῷ συνυπάρχων ἐν Οὐρανοῖς, ὑπὲρ Κόσμου παντὸς πρέσβευε.

Τῶν Ἀθλοφόρων χορείαις συναυλιζόμενος, ἐν Οὐρανοῖς τρισμάκαρ, παρεστώς τε τῇ θείᾳ, Τριάδι τῇ ἀνάρχῳ μνήμην ποιοῦ, τῶν τελούντων τὴν μνήμην σου, καὶ τὴν πανσέβαστον Κάραν σου ἀβλαβῶς, προσκυνούντων μετὰ Πίστεως.

Δόξα, ἦχος β'.

Ἡ Ἐκκλησία σήμερον πανηγυρίζει μυστικῶς, νέαν στολὴν ἐνδυσαμένη, ὡς πορφύραν, καὶ βύσσον, τὸ αἷμα τοῦ Ἀθλοφόρου Χαραλάμπους. τοῦτον γὰρ ἐν ἀσεβείᾳ ἐκθρεψαμένη, θυσίαν ἄμωμον δεκτὴν καὶ ἀρεστὸν Χριστῷ προσήγαγε. διὸ ὁ νικητὴν τοῦτον τῶν παρανόμων, ἀναδείξας Χριστὲ ὁ Θεὸς, καὶ στεφανώσας, καὶ δοξάσας, καὶ ἡμῖν κατάπεμψον, ταῖς αὐτοῦ πρεσβείαις, τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν στ. στ. προσόμοια, ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Σύμπασα ἡ Ἑλλὰς, ἐνθέως νῦν ἀγάλλου, κατέχουσα ἐν κόλποις, τὴν σεβάσμιον Κάραν, τὴν τοῦ Ἱερομάρτυρος.

Στ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ὢ θαύματος φρικτοῦ, ὢ τεραστίου ξένου. ὅσα γὰρ τῶν Μαρτύρων, ἰάσεις ἐκτελοῦσι, καὶ θαύματα παράδοξα.

Στ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Στίφη νῦν τῶν Πιστῶν, καὶ τῆς Ἑλλάδος παῖδες, ἀσπάσασθε προθύμως, τοῦ θείου Χαραλάμπους, τὴν Κάραν τὴν σεβάσμιον.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Πάγχρυσε κιβωτὲ, καὶ στάμνε μανναδόχε, Μαρία Θεοτόκε, τὸν σὸν Υἱὸν δυσώπει, τοῦ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον, ἦχος δ'.

Ὡς στῦλος ἀκλόνητος τῆς Ἐκκλησίας Χριστοῦ, καὶ λύχνος ἀείφωτος τῆς Οἰκουμένης σοφὲ, ἐδείχθης Χαράλαμπες. ἔλαμψας ἐν τῷ Κόσμῳ διὰ τοῦ μαρτυρίου, ἔλυσας καὶ Εἰδώλων τὴν σκοτόμαιναν μάκαρ. διὸ ἐν παῤῥησίᾳ Χριστῷ πρέσβευε, σωθῆναι ἡμᾶς.

## ΕΝ ΤΩ͂, ΜΕΓΑΛΩ͂, ΕΣΠΕΡΙΝΩ͂.

Τὸ, Μακάριος ἀνὴρ, τὸ ά. Ἀντίφωνον, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ή. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, Ἦχος, πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Ὅλος ἐκ νεότητος, ἀνατεθεὶς τῷ Δεσπότῃ, τοῦτον ἐπεπόθησας, καὶ αὐτοῦ τοῖς ἴχνεσιν ἠκολούθησας, καθαρθεὶς πάσης δὲ, τῶν παθῶν κηλῖδος, Θείαν χάριν κατεπλούτησας, τελεῖν ἰάματα, καὶ θαυματουργεῖν τὰ παράδοξα. Καὶ Μάρτυς ἐχρημάτισας, πάσαις προσβολαῖς τῶν κολάσεων, ἀκλόνητος μείνας, δυνάμει τοῦ τυθέντος ἐν Σταυρῷ· ὃν ἐκτενῶς καθικέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δίς.

Ἥλοις προσηλούμενον, σοῦ τὸ σωτήριον σῶμα, τὸ καρτερικώτατον, Ἀθλητὰ Χαράλαμπες, καὶ ἀήττητον, τὴν ψυχὴν ἄτρεπτον, καὶ τὸν νοῦν ἄσυλον, διετήρεις συντριβόμενος. Θεῖος γὰρ ἔρως σε, ἔνδοθεν πλουσίως ἀνέφλεγε, καὶ φέρειν τῶν κολάσεων, ἅπασαν ἰδέαν ἠρέθιζε, Μάρτυς Ἀθλοφόρε, Χριστοῦ τῶν παθημάτων κοινωνὲ, ἐν παῤῥησίᾳ ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Χαρὰν τὴν ὑπέρλαμπρον, καὶ τὴν ὑπέρτιμον δόξαν, ἀθλήσας κεκλήρωσαι, καὶ τὴν αἰωνίζουσαν ἀγαλλίασιν, Ἱερεῦ Ὅσιε, Ἀθλητὰ τίμιε, Στρατιῶτα γενναιότατε, ὁ τὰ στρατεύματα, καὶ τὰς παρατάξεις τοῦ δράκοντος, αἱμάτων σου τοῖς ῥεύμασιν, ἄρδην κατακλύσας τῇ χάριτι, καὶ θείᾳ ἐντάξει νεκροὺς ἐξαναστήσας ἀληθῶς, καὶ παῤῥησίᾳ δεόμενος ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἕτερα προσόμοια, ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔδωκας τὸ σῶμά σου, πρὸς τὰς βασάνους Ἀοίδιμε, τὴν ψυχὴν δὲ ἐτήρησας, ἄμωμον ἀκίβδηλον, πάσης ἁμαρτίας, καὶ τῆς δυσσεβείας, τῶν παρανόμων αἰκισμῶν, καὶ ἀνυψώσας τὸν νοῦν μετάρσιον, πανόλβιε Χαράλαμπες, πρὸς τὸν Δεσπότην καὶ πλάστην σου, κατοικεῖν κατηξίωσαι, εἰς παστάδα Οὐράνιον. Δίς.

Ἔδωκας τοῖς δούλοις σου, τὸν σὸν θεράποντα Κύριε, ΧΑΡΑΛΑΜΠΗΝ τὸν ἔνδοξον, ἴασιν ἀλάθητον, νόσων πολυτρόπων, καὶ παραμυθίαν, τῶν συμφορῶν καὶ λυπηρῶν, καὶ καθαιρέτην τῆς πλάνης μέγιστον. διό σου τὴν φιλάνθρωπον, οἰκονομίαν δοξάζομεν, πολυεύσπλαγχνε Κύριε, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Χάριν ἥνπερ εἴληφας, παρὰ Θεοῦ ὑπὲρ ἔννοιαν, Ἀθλοφόρε Χαράλαμπες, χάριν τῶν ἰάσεων, πᾶσι παρεμφαίνει, καὶ τῶν θαυμασίων, ἡ ἀναρίθμητος πληθὺς, τὰς δωρεάς σου κηρύττει Ἅγιε, ἃς ὄντως ὑπὲρ λόγον τε, καὶ νοῦν ἀπείληφας ἔνδοξε, πρὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τῶν Μαρτύρων ἀγλάϊσμα.

Δόξα, ἦχος δ΄.

Ἔθυσας τῷ Θεῷ θυσίαν αἰνέσεως, ἱερουργῶν τῷ Δεσπότῃ, καὶ Κτίστῃ σου, ὡς Ἱερεὺς ἐννομώτατος· οὗ καὶ τοῦ πάθους γέγονας μιμητὴς Θεόφρον Χαράλαμπες, σεαυτὸν γὰρ θυσίαν εὐπρόσδεκτον προσήγαγες, τῷ διὰ σὲ θυσίαν ἑαυτὸν τῷ Θεῷ καὶ Πατρὶ προσαγαγόντι. διὸ συναγάλλῃ αὐτῷ εἰς Οὐρανίους σκηνώσεις, ἐν Ἐκκλησίᾳ τῶν πρωτοτόκων· ᾧ καὶ πρεσβεύεις ἀδιαλείπτως, ἵνα ῥυσθῶμεν ὀργῆς καὶ θλίψεως, οἱ τιμῶντές σου τὴν πανέορτον μνήμην, καὶ πόθῳ ζέοντι προσκυνοῦντες τὴν σὴν Κάραν, τὴν ἄπειρα θαύματα βρύουσαν, καὶ λοιμώδη νόσον ἐκ ποδῶν ποιουμένην, σωτηρίαν καὶ ἴασιν ἡμῖν βραβεύουσαν. Καὶ νῦν. Θεοτοκίον.

Ὁ διὰ σὲ Θεοπάτωρ, Προφήτης Δαβίδ.

Εἴσοδος, τό, Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. μγ΄. 9. Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. ἐγὼ ἀνήγγειλα, καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος, ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. γ΄. 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσ-

μνήμην αὐτῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφία Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. ί. ιϛ΄. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν Κτίσιν εἰς ἄμυναν ἐχθρῶν. ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα. ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. συνεκπολεμήσει αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας. πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. ἀκούσατε οὖν Βασιλεῖς, καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Καὶ γίνεται ἡ συνήθης ἐκτενής. εἰς τὴν Λιτὴν ψάλλομεν τὰ Ἰδιόμελα, ἦχος ά.

Εὐφραίνεσθε ἐν Κυρίῳ πόλεις τῆς Ἑλλάδος, καὶ σκιρτήσατε ἀγαλλόμεναι, τὴν Κάραν τοῦ Μεγαλομάρτυρος ΧΑΡΑΛΑΜΠΟΥΣ ἐν κόλποις κατέχουσαι, ὡς θησαυρὸν βαθυτάλαντον καὶ ἀνεξάλειπτον. μεθ᾽ ὧν καὶ ἡμεῖς ὁσημέραι ἀπαρυόμενοι ἐξ αὐτῆς τὰ τῶν ἰάσεων ῥεῖθρα,

τῆς πανώλους λοιμικῆς ἀπαλλαττόμεθα νόσου, εὐχαριστοῦντες Θεῷ, τῷ κηδεμόνι καὶ Σωτῆρι τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Ὁ αὐτός.

Τὸν θεῖον ἀγῶνα καλῶς ἀγωνισάμενος Μάρτυς Χαράλαμπες, τῆς Οὐρανῶν Βασιλείας οἰκήτωρ γέγονας, καὶ πρεσβεύεις ὑπὲρ τοῦ Κόσμου πανάοιδιμε. τὸ δὲ καρτερικώτατόν σου σῶμα, ἐν τῇ γῇ κατέλιπες, ἴαμα σωτήριον τοῖς αὐτῷ προσιοῦσι, καὶ ἀπτομένοις μετὰ πόθου. τὴν δὲ πάντιμόν σου Κάραν, ἡ Ἑλλὰς ἐκτήσατο πλοῦτον ἀδάπανον, καὶ θησαυρὸν πολύτιμον, δι᾽ ἧς τῶν ὄντως ἐφετῶν τυγχάνει, καὶ τῶν ἐναντίων ἐκλυτροῦται, ἐπισκιάσει τῆς ἐν σοὶ θείας χάριτος.

Ὁ αὐτός.

Πίστει καὶ πόθῳ ἀναφλεχθεὶς τῷ πρὸς τὸν Δεσπότην σου ζέοντι, καὶ τῷ Μαρτυρίῳ τῷ ὑπὲρ Χριστοῦ, ὥσπερ κλίμακι χρησάμενος, ἀνῆλθες πρὸς οὐρανίους λειμῶνας, κἀκεῖθεν τῇ θεόθεν δοθείσῃ σοι χάριτι, ἐποπτεύεις τοὺς τελοῦντας τὴν σεβάσμιον μνήμην σου, καὶ τοὺς σοὺς γεραίροντας, ἀγῶνας, καὶ τὴν σὴν πάντιμον Κάραν κατασπαζομένους, Μάρτυς ΧΑΡΑΛΑΜΠΕΣ.

Ὁ αὐτός.

Τὰ τοῦ πονηροῦ ἠκονημένα βέλη, ἀπήμβλυνας Ἅγιε, τῇ τῶν σῶν ἄθλων ἀντιτυπίᾳ, καὶ κατῄσχυνας ὄφιν τὸν ἀρχέκακον, καὶ τὸ τούτου ὄργανον Σεβῆρον τὸν ἀσεβέστατον. ἀκλινεῖ γὰρ διανοίᾳ τῇ πέτρᾳ ἐρηρεισμένος τῆς πίστεως, ἀδιάσειστος ἔμεινας. διὸ αἱ ἀντιφάσεις τῆς ἀσεβείας, οὐ κατίσχυσαν περιτρέψαι τὴν στερρὰν σου εὐσέβειαν. ἀνθ᾽ ὧν ἐν οὐρανοῖς συγχορεύεις Ἀγγέλοις, καὶ πρεσβεύεις ἀδιαλείπτως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων ἐν ᾄσμασι, τὴν πανσεβάσμιον Κάραν σου.

Ὁ αὐτός.

Μεγαλομάρτυς ἀθλητὰ τοῦ Χριστοῦ Χαράλαμπες γενναιότατε, σὺ ῥωμαλέῳ φρονήματι, τὸν ὄντως Θεὸν μεγαλοφώνως ἐν σταδίῳ ἐκήρυξας, τῶν παρόντων καταφρονήσας ὡς προσκαίρων, καὶ νῦν ἐν οὐρανοῖς ἐπαγαλλόμενος σὺν τοῖς χοροῖς τῶν Ἀγγέλων, ἀπαύστως τὸν Χριστὸν, ὃν Υἱὸν Θεοῦ παῤῥησίᾳ ὡμολόγησας, ἱκέτευε εἰρηνεῦσαι τὸν Κόσμον, καὶ τὴν πανώλεθρον λοιμικὴν νόσον τῶν ἀνθρώπων ποιῆσαι, ἐκ κινδύνων λυτρούμενον ἡμᾶς παντοίων ἀεὶ, τοὺς ἐν πίστει, καὶ πόθῳ ἀσπαζομένους τὴν σεβάσμιον Κάραν σου, καὶ τὴν ἁγίαν σου μνήμην ἑορτάζοντας.

Ὁ αὐτός.

Ῥωμαλεότητι φρενῶν ὠχυρωμένος Θεσπέσιε, τὰς βασάνους τῶν ἀθέων εἰς οὐδὲν ἐλογίσω, ἀλλ' ἀνδρείως ὥρμησας πρὸς τὰ σκάμματα, τῷ δὲ θείῳ Πνεύματι λαμπρυνθεὶς τὴν διάνοιαν, Βασιλέα παρανομώτατον, ἤλεγξας, καὶ τοὺς τιμωρουμένους σε ποιναῖς καθυπέβαλες, καὶ τὴν Ὀρθόδοξον πίστιν ἐκράτυνας, καὶ νῦν ἐν οὐρανοῖς τὰ γέρα τῶν σῶν πόνων κομισάμενος, ἀπαύστως δοξολογεῖς τὴν ἁγίαν Τριάδα, καὶ πρεσβεύεις ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων τὴν σεβάσμιον Κάραν σου.

Δόξα, ἦχος πλ. ά.

Δεῦτε φιλομάρτυρες πάντες ἀγαλλιαθῶμεν ἐν τῇ πανσέμνῳ πανηγύρει τοῦ Ἀθλοφόρου, καὶ πνευματικῶς πανηγυρίσωμεν. σήμερον γὰρ συγκαλεῖται ἡμᾶς ἡ πανσεβάσμιος πανήγυρις ΧΑΡΑΛΑΜΠΟΥΣ τοῦ Ἱερομάρτυρος, τράπεζαν ἡμῖν παρατιθεμένη τὰς ἀριστείας τῶν παλαισμάτων αὐτοῦ, καὶ τὴν πανένδοξον αὐτοῦ κεφαλὴν, ἰάματα ὡς νάματα βλύζουσαν, πᾶσι τοῖς πιστῶς αὐτῇ προσιοῦσι, καὶ αἰτουμένοις τῶν αὐτῆς ἴασιν ψυχῶν τε καὶ σωμάτων, καὶ δεινῶν ἀπαλλαγὴν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ δυσωποῦμεν ὡς Θεοῦ Μητέρα, ἀνυμνημένη.

Καὶ αἱ συνήθεις ἀρχαί.

Εἰς τὸν στ. στ. Προσόμοια, ἦχος, α.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Πανεύφημε Μάρτυς τοῦ Χριστοῦ, ἀθλητὰ Χαράλαμπες, σὺ τὸν Χριστὸν ἀνεκήρυξας, Θεὸν καὶ ἄνθρωπον, μέσον τοῦ σταδίου. διὸ καὶ ἠγώνισαι, κατὰ τῶν ἀντιπάλων ῥωννύμενος, ἀρετὴ τοῦ Πνεύματος, καὶ τὸν στέφανον ἀπείληφας. ὅθεν πάντες τὴν Κάραν σου σέβομεν.

στ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Ὑβρυύεται σήμερον Ἑλλὰς, πᾶσα ἡ χριστώνυμος. Κάραν τὴν σὴν γὰρ ἐκτήσατο, ὡς κρήνην βρύουσαν, ἰαμάτων ῥεῖθρα, καὶ πλοῦτον ἀδάπανον, καὶ χάριν κενουμένην μηδέποτε, νόσους τ' ἐλαύνουσαν, λοιμικήν τε τὴν πολύφθορον, ἐξ ἀνθρώπων τῶν μακαριζόντων σε.

στ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.

Νεκρὸν ἀναστήσας δι' εὐχῆς, ἀσεβεῖς κατέπτηξας, ἐξ ὧν καὶ πλείστους προσήγαγες, Χριστῷ πανόλβιε, καὶ τὸν δαιμονῶντα εὐθὺς ἰασάμενος, Γαλήνην βασιλίδα ἀνείλκυσας, τῆς πλάνης δαίμονος, καὶ Χριστῷ ταύτην προσήγαγες, ἐστεμμένην ὡς παρθενομάρτυρα.

Δόξα, ἦχος δ.

Τὸν νοερὸν ἀδάμαντα, τῆς ὑπομονῆς ἀδελφοὶ, τὸν γενναιότατον ἀθλητὴν, τὸν δυσὶ στέμμασι κατεστεμμένον, Ἱερωσύνης, καὶ ἀθλήσεως, παρὰ τῆς δεξιᾶς τοῦ παντάνακτος Θεοῦ, Χαραλάμπη τὸν ἐν μάρτυσι μέγιστον εὐφημήσωμεν· οὗτος γὰρ τὸν ἀλάστορα καταπαλαίσας, τρόπαιον μέγα κατὰ τῆς πλάνης ἀνεστήσατο, καὶ νῦν ἐν οὐρανοῖς τὸν Θεὸν ἐξαιτεῖται ἄφεσιν ἁμαρτιῶν ἡμῖν παρασχεῖν, καὶ παντοίων νόσων ἀπαλλαγὴν, τοῖς θερμῶς προστρέχουσιν αὐτῷ, καὶ τὴν ἁγίαν αὐτοῦ Κάραν εὐλαβῶς ἀσπαζομένοις,

καὶ τὴν ἐτήσιον αὐτοῦ μνήμην μετὰ πόθου τελοῦσι, καὶ αἰτουμένοις δι' αὐτοῦ τῷ Θεῷ ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε.

Ἀπολυτίκιον, ἦχος δ΄.

Ὡς στύλος ἀκλόνητος τῆς Ἐκκλησίας Χριστοῦ, καὶ λύχνος ἀείφωτος τῆς οἰκουμένης σοφὲ, ἐδείχθης ΧΑΡΑΛΑΜΠΕΣ. ἔλαμψας ἐν τῷ Κόσμῳ διὰ τοῦ μαρτυρίου, ἔλυσας καὶ εἰδώλων, τὴν σκοτόμαιναν μάκαρ. διὸ ἐν παῤῥησίᾳ Χριστῷ πρέσβευε σωθῆναι ἡμᾶς.

Εἶτα γίνεται ἡ συνήθης εὐλόγησις τῶν ἄρτων, καὶ μεταλαμβάνομεν ἐξ αὐτῶν πάντες οἱ ἀδελφοὶ εἰς ἁγιασμὸν ψυχῆς, καὶ σώματος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ἑξάψαλμον, τὸ, Θεὸς Κύριος, τὸ Τροπάριον, Ὡς στύλος ἀκλόνητος.

Δόξα τὸ αὐτό. καὶ νῦν, Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.

Ἡ στιχολ. μετὰ τὴν α΄. στιχολ. καθ. ἦχος γ΄.

Θείας Πίστεως.

Ἔργοις ἔλαμψας τῆς εὐσεβείας, πλάνην ἔσβεσας κακοδοξίας, ὡς τοῦ Χριστοῦ στρατιώτης Χαράλαμπες, καὶ παρανόμων τὰς φάλαγγας ᾔχμωσας, τροπαιοφόρος παμμάκαρ γενόμενος. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

Θαῦμα μέγιστον πῶς ἐν ἀγκάλαις, σὺ ἐβάστασας Παρθενομῆτορ, τὸν ἐν δρακὶ αὐτοῦ τὰ πάντα συνέχοντα, καὶ ἐκ μαζῶν σου ἐξέθρεψας γάλακτι, τὸν τροφοδότην καὶ πλάστην τῆς φύσεως. Κόρη πάναγνε, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὴν β΄. στιχολογίαν. Κάθισμα. ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

Ὡς φωστὴρ ἀνέτειλας ἐκ τῆς ἑώας, καὶ πιστοὺς ἐφώτισας, ταῖς τῶν θαυμάτων σου βολαῖς, Ἱερομάρτυς Χαράλαμπες. ὅθεν τιμῶμεν τὰ θεῖά σου λείψανα.

Ἕτερον, Ὅμοιον.

Ἱερὸν τὸ Πνεῦμά σε Ἱερομάρτυς, ἱερῶς ἀνέδειξε, τὸ ἱερὸν θῦμα σοφὲ, προσενεχθὲν ἱερώτατε, τῷ θείῳ λόγῳ, ᾧ θείως δεδόξασαι.

Θεοτοκίον. Ὅμοιον.

Μωϋσῆς ἑώρακε πυρφόρον βάτον, σὲ τὸ πῦρ βαστάσασαν, τὸ τὰς ψυχὰς φωταγωγοῦν, καὶ μὴ φλεχθεῖσαν Πανάμωμε, δρόσου δὲ μᾶλλον πλησθεῖσαν τῆς χάριτος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα, ἦχος γ΄.

Τὴν ὡραιότητα.

Τὴν καθαρότητα Μάρτυς τοῦ βίου σου, καὶ τὸ ὑπέρλαμπρον τοῦ μαρτυρίου σου, καταπλαγεῖσα ἡ Ἑλλὰς, βοᾷ σοι ἀνφραινομένη· σήμερον τιμῶμέν σου κεφαλὴν τὴν σεβάσμιον, θραῦσον τὰ φρυάγματα τῶν ἐχθρῶν ἡμῶν Ἅγιε, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν κινδύνων, καὶ νοσημάτων τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον. Ὅμοιον.

Τὴν ἀπειρόγαμον Θεογεννήτριαν, τὴν τὸν ἀχώρητον γαστρὶ χωρήσασαν, καὶ τὸν τροφέα τοῦ παντὸς τῷ γάλακτι θρεψαμένην, μόνην ἐξιχύσασαν, τῆς κατάρας λυτρώσασθαι, γένος τὸ ἀνθρώπινον, τὴν παναλδαμαντον Δέσποιναν, ὑμνήσωμεν συμφώνως βοῶντες, χαῖρε ἡ κεχαριτωμένη.

Οἱ Ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου.

Προκείμενον, ἦχος δ΄.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου.

Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων, ἐπιβάλλουσι.

Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου.

Εἶτα τὸν Ν΄. Ψαλμόν. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ Ἰδιόμελον, ἦχος πλ. β΄.

Φάλαγγα θεοστεφῆ φωτοφανοῦς Μάρτυρος, ὑπὲρ Χριστοῦ τυθεῖσαν προθύμως, τὸν ἁγιόλεκτον συνασπισμὸν τοῦ Ἱερομάρτυρος ΧΑΡΑΛΑΜΠΟΥΣ, φιλομάρτυρες δεῦτε τιμήσωμεν, καὶ τὴν πανίερον μνήμην αὐτοῦ πνευματικῶς τελέσαντες, πρὸς αὐτὸν βοήσωμεν· τῆς λοιμικῆς ἀπειλῆς τὸν εὐσεβόφρονα λαόν σου ἐλευθέρωσον, καὶ λύτρωσον ἡμᾶς πάσης περιστάσεως.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου, τὸ Κύριε ἐλέησον, ιβ΄. Ἐλέει καὶ οἰκτιρμοῖς.

Εἶτα ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ϛ΄.

Καὶ τοῦ Ἁγίου εἰς η΄. Ὁ Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ α΄. ἦχος πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Χοροβατῶν εὐφροσύνως τὰ νοητά, Οὐρανῶν σκηνώματα, καὶ λαμπόμενος φωτί, ἀνεσπέρῳ ῥῦσαί με παθῶν, ταῖς πρεσβείαις σου σοφέ, ὅπως ὑμνήσω σε.

Ἡ φωτοφόρος σου μνήμη ἡλιακάς, ἀπαστράπτει χάριτας, καὶ φωτίζει τοὺς πιστούς, ἐν αὐτῇ τιμῶντάς σε χαρᾶς, λαμπροτάτης ἀληθῶς ταύτης ἐπώνυμε.

Ταῖς τῶν αἱμάτων ῥανίσι τὴν ἁλμυράν, ἀπιστίας θάλασσαν, κατέκλυσας ποταμός, εὐσεβείας γέγονας Χριστοῦ, καταρδεύων ἀληθῶς τὴν Ἐκκλησίαν ἀεί. Θεοτοκίον.

Ἁμαρτιῶν καταιγίδες, καὶ λογισμῶν, ἐναντία κύματα, καὶ παθῶν ἐπαγωγαί, ἐπ' ἐμὲ διήλθοσαν τῇ σῇ, Θεοτόκε κραταιᾷ πρεσβείᾳ σῶσόν με.

Ἕτερος Κανὼν τοῦ Ἁγίου. Ὠδὴ, ά. ἦχος δ'.
Ἀνοίξω τὸ στόμα μου.

Τὸν Κανὼν τὸν πάνσεπτον, καὶ τὰ παλαίσματα Κύριε, ὑμνεῖν ἐφιέμενος τοῦ σοῦ θεράποντος, θείαν ἔλλαμψιν ἐξ ὕψους ἐξαιτοῦμαι, δι' ἧς ἀναμέλψασθαι ταῦτα δυνήσομαι.

Σεβῆρον τὸν ἄθεον, τὸν ὠρυόμενον λέοντα, καθεῖλες Χαράλαμπες, σὺν Κρίσπῳ ἄφρονι, τὴν δυσσέβειαν τὴν τούτων ἀπελέγξας, ἀνθ' ὧν ἐστεφανώσαι χειρὶ τοῦ Κτίστου σου.

Βασίλειον κόσμον σε, ἡ Ἐκκλησία ἐκτήσατο, δαιμόνων διώκτην τε, θεῖε ΧΑΡΑΛΑΜΠΕΣ, νοσημάτων τε παντοίων ἐλατῆρα. διὸ ἑορτάζει σου τὴν μνήμην Ἅγιε.

Θεοτοκίον.

Μαρίαν τὴν ἄχραντον, καὶ Θεοτόκον ὑμνήσωμεν, τὸ ὄρος τὸ ἅγιον, στάμνον τὴν πάγχρυσον, τὴν βαστάσασαν τὸ φύσει θεῖον μάννα, τὸ τρέφον ἑκάστοτε πιστοὺς τῇ χάριτι.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ, γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Οὐκ ἔστιν ὅλως ἐξειπεῖν, τῶν θαυμάτων τὰ πλήθη, ἅπερ ἔδρασας ἔτι ἐν τῷ βίῳ περιών, καὶ πρὸς Θεὸν μετελθὼν, Ἀθλοφόρε Μάρτυς ἀξιάγαστε.

Δυνάμει θείᾳ κραταιωθεὶς, τὸ ἀνίσχυρον θράσος, τῶν ἀνόμων καθεῖλες, στρατιώτης ὡς στεῤῥὸς, ΧΑΡΑΛΑΜΠΕΣ ἀθλητὰ, ὡς πολίτης θείας παρατάξεως.

Αἱμάτων ῥεύσαντες κρουνοὶ, τοῦ σοῦ σώματος πᾶσαν, ἀσεβείας τὴν φλόγα, καὶ δεινὴν πυρκαϊὰν, κατέσβεσαν, τῆς τρυφῆς, τὸν χειμάῤῥουν σοὶ δὲ προεξένησαν.

Θεοτοκίον.

Ἁγίων Ἅγιον Θεὸν, τέτοκας Παναγία, ἁγιότητος οἶκος, δεδειγμένη καθαρὸς, καὶ πύλη μόνη Χριστὸς, ἣν διῆλθε, σώζων τὸ ἀνθρώπινον.

Ἄλλος. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Τοὺς σοὺς ὑμνολόγους Θεοφόρε, πιστῶς συνελθόντας ἐν Ναῷ, τὴν Κάραν προσκυνῆσαί σου, τὴν θείαν καὶ σεβάσμιον, φρούρει καὶ διαφύλαττε, σκανδάλων τοῦ πολεμήτορος.

Νεκρὸν νεανίαν ἀναστήσας, δαιμόνων ὀφθείς τε ἐλατὴρ, πλήθη βροτῶν ἐξέστησας, καὶ τῷ Χριστῷ προσήγαγες, μαρτυρικῷ ἐν αἵματι, χειρῶν ἁρπάσας τοῦ δράκοντος.

Δεῦτε ἡ πληθὺς τῶν Χριστωνύμων, Κυρίου τὸν Μάρτυρα πιστῶς, αἰνέσωμεν καὶ σέβωμεν, αὐτοῦ τὴν Κάραν ᾄσμασι, πνευματικοῖς τὴν πάνσεπτον, πταισμάτων λύσιν ὡς εὕρωμεν.

Θεοτοκίον.

Υἱὸν τοῦ Θεοῦ τὸν Θεὸν Λόγον, τὸν Κόσμῳ ἀχώρητον παντὶ, ἐν σῇ γαστρὶ χωρήσασα, ἀγκάλαις σου ἐβάστασας, Παρθενομῆτορ ἄχραντε, Χριστιανῶν καταφύγιον.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Κάθισμα, ἦχος γ΄. Θείας Πίστεως.

Στύλος ἄσειστος τῆς Ἐκκλησίας, λύχνος ἄσβεστος τῆς Οἰκουμένης, ἀθλοφόρε ἀνεδείχθης ΧΑΡΑΛΑΜΠΕΣ, καὶ ἀνέλαμψας Ἡλίου φαιδρότερον, τὴν τῶν εἰδώλων ἐλαύνεις σκοτόμαιναν, Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον, ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τὰ στίφη τῶν πιστῶν, εὐσεβῶς συνελθόντα, τὸν Μάρτυρα Χριστοῦ, Χαραλάμπη τὸν μέγαν, ἀξίως εὐφημήσωμεν, εὐσεβείας τὸν πρόμαχον, ἀδαμάντινον, καὶ

δυσσεβῶν καθαιρέτην, τὸν κηρύξαντα, Θεὸν τοῦ σύμπαντος Κόσμου, Χριστὸν τὸν θεάνθρωπον.

Θεοτοκίον.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Ὡραῖος γέγονας, χρισθεὶς ἐν αἵματι, τῆς σεπτῆς μαρτυρίας, καὶ καλλοναῖς, ταύτην κατηγλαΐσας, Χαράλαμπες ἀθλητῶν, ἐγκαλλώπισμα καὶ στήριγμα.

Δαιμόνων ξόανα, τῇ σῇ συνέτριψας, Ἀθλοφόρε ἀνδρείᾳ Ναὸν σαυτὸν, τοῦ Ἁγίου Πνεύματος, καὶ καρτερίας ἀψευδοῦς, στήλην δείξας καὶ ὑπόδειγμα.

Εἰς ὕψος αἴροντες τὰς χεῖρας ἔνδοξε, οἱ τοῦ σκότους προστάται σου τὰς πλευρὰς, ἔξεον τοῖς ὄνυξι, τὴν δι᾽ αἰῶνος ἀληθῆ, προξενοῦντές σοι ἀπόλαυσιν.

Θεοτοκίον.

Ἰσχὺς, καὶ ὕμνησις, Χριστὸς ὁ Κύριος, ὁ ἐκ σοῦ ἀνατείλας ὑπερβολῇ, Πανάγνε χρηστότητος, καὶ λυτρωσάμενος ἡμᾶς, τῆς ἀρχαίας παραβάσεως.

Ἄλλος. Ὁ καθήμενος ἐν δόξῃ.

Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου θεότητος, ἀνεδέξατό σε, ὥσπερ χρυσοπτέρυγα πελείαν, εἰς οὐρανίους σκηνώσεις ἀνιπτάμενον, ὡς ἀήττητον ἀθλητὴν καὶ περίδοξον.

Λαμπρυνόμενος τῷ φέγγει, τοῦ Θεοῦ Μάρτυς ἔνδοξε, πρὸ βημάτων ἔστης, τῶν παρανομούντων ἀδείμαντος, καὶ τὸν Χριστὸν ἐλευθέρως ἀνεκήρυξας, Θεὸν τέλειον φύσιν βροτῶν ἐνδυσάμενον.

Μέγας ὄντως ἀνεδείχθη, θησαυρὸς καὶ πολύολβος, ἡ τιμία Κάρα, σοῦ τοῦ ἀηττήτου Χαράλαμπες, πο-

λυποικίλους τὰς νόσους, τὴν πανώλην τε, ἀπελαύνουσα, νόσον δυνάμει τοῦ Πνεύματος. Θεοτοκίον.

Τὴν πανάχραντον Μαρίαν, Θεοτόκον ὑμνήσωμεν, τὴν γεννησαμένην, τῆς δικαιοσύνης τὸν Ἥλιον, τὴν ἐπουράνιον πύλην τὴν εἰσάγουσαν, τοὺς δοξάζοντας, ταύτην Θεοῦ εἰς Βασιλεία.

Καταβασία. Ὁ καθήμενος ἐν δόξῃ.

Ὠδὴ ε. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Τὸ θεῖον πάθος τοῦ δι' ἡμᾶς πάθη ὑπομείναντος στεῤῥῶς Μάρτυς Χριστοῦ μιμησάμενος, φέρεις τὰς ἐν ὅλῳ σώματι ἔνδοξε, τῶν ἥλων προσηλώσεις καρτερικώτατα.

Τὴν ἀλογίαν τῶν διωκτῶν, Λόγος ὁ συνάναρχος Πατρὶ, ἐπανορθούμενος πάνσοφε, λόγον τοῖς ἀλόγοις σαφῶς ἀντίθησι, λυθῆναι τῶν δεσμῶν σε διαγορεύουσι.

Τοῖς ὀβελίσκοις περονηθεὶς, ἔτρωσας καρδίαν τοῦ δεινοῦ, τῶν γηγενῶν πολεμήτορος, λόγχῃ τῆς ἀνδρείας καὶ καρτερίας σου, θεόφρον Ἀθλοφόρε ἀξιάγαστε.

Θεοτοκίον.

Τῷ θείῳ φέγγει σου ἀγαθὴ, τὴν ἐσκοτισμένην μου ψυχὴν, ταῖς ἡδοναῖς φωταγώγησον, καὶ πρὸς σωτηρίας τρίβον ὁδήγησον, ἡ μόνη τὸν Σωτῆρα Χριστὸν κυήσασα.

Ἄλλος. Ἐξέστη τὰ σύμπαντα.

Ἐξίστανται σύμπαντες, ἐπὶ τῇ θείᾳ δόξῃ σου. σοῦ γὰρ πανσεβάσμιος ἡ Κάρα, νόσους ἐλαύνει, διώκει δαίμονας, καὶ πᾶσι προστρέχουσι πιστοῖς, ἴασιν χαρίζεται, καὶ κακῶν ἀπολύτρωσιν.

Σωμάτων νοσήματα, καὶ τῶν ψυχῶν ΧΑΡΑΛΑΜΠΕΣ, παύονται τῆς θείας Κεφαλῆς σου, προσκυνουμένης καὶ τιμωμένης σεπτῶς. Χριστὸς γὰρ δεδώρηται ἡμῖν, ταύτην ἰατρεῖον, καὶ δεινῶν ἀμυντήριον.

Ἐξέστησαν δαίμονες, καὶ Ἕλληνες οἱ ἄθεοι, βλέποντες τὰς χεῖρας κεκομμένας, καὶ κρεμαμένας τοῦ σώματος

σου δεινῶς, Δοῦκος τοῦ παντόλμου ὑβριστοῦ. σὺ δ' ὡς Χριστομίμητος, τοῦτον αὖθις ὑγίακας. Θεοτοκίον.

Ὁ λόγος Παννάμωμε, Θεοῦ ὁ ἐνυπόστατος, ὥσπερ ὑετὸς ἐπὶ τὸν πόκον, ἐν τῇ γαστρί σου κατῆλθεν Ἄχραντε, καὶ πᾶσαν τὴν φύσιν τῶν βροτῶν, ἔσωσε τῷ καύσωνι, ξηρανθεῖσαν τοῦ πτώματος.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Λαμπτὴρ ἐχρημάτισας, τῷ τῶν ἄθλων σου φωτὶ, φωταγωγῶν τὰ πέρατα. ὁμολογεῖς τὸ ὄνομα τοῦ Χριστοῦ, τυράννου ἐνώπιον, Ἀθλοφόρε Κυρίου ἀξιάγαστε.

Ἔνθεος πυρούμενος, ἀγαπήσεως πυρὶ, τῷ δροσισμῷ τῆς πίστεως, τῶν δυσσεβούντων ἔσβεσας τὴν πυρὰν, Χριστοῦ τὰ θαυμάσια, τοῖς ἀπίστοις δεικνύων ἀξιάγαστε.

Ζωῆς ἀφιέμενος, ἀθανάτου, τῆς σαρκὸς, Χαράλαμπες ἐνέκρωσας, τὰς ἐμπαθεῖς κινήσεις, καὶ προσευχῇ, νεκροὺς ἐξανέστησας, ἀνυμνῶν τὸν ἐν πᾶσι σε δοξάσαντα.

Θεοτοκίον.

Παθῶν με κλονούμενον, ἐναντίαις προσβολαῖς, Μῆτερ Θεοῦ στερέωσον, ὡς ἀπαθείας τέξασα τὴν πηγήν. πρὸς σὲ γὰρ κατέφυγον, τῶν ἀνθρώπων τὸ μέγα καταφύγιον.

Ἄλλος. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν τοῦ Παμμάκαρος, δεῦτε τὴν πάντιμον, Κάραν αὐτοῦ ἀσπασώμεθα, καὶ τῶν δεινῶν τὴν λύτρωσιν κομισόμεθα.

Πηγὴν ἰάσεων ἔχοντες, τὴν Κάραν τὴν σεπτήν σου Χαράλαμπες, θερμῶς προστρέχομεν, ταύτῃ προσκύνησιν νέμοντες, καὶ τὸν Θεὸν ὑμνοῦντες τὸν σὲ δοξάσαντα.

Μεγίστην χάριν ἀπείληφας, θεόθεν Ἀθλητὰ γενναιότατε, Μάρτυς Χαράλαμπες. Κάραν τὴν σὴν γὰρ ὁ Κύριος, τῶν ἰαμάτων κρήνην σαφῶς εἰργάσατο.

Θεοτοκίον.

Τὸ πῦρ ἐν σοὶ τῆς Θεότητος, ἐσκήνωσεν Ἁγνὴ Θεονύμφα τε, καὶ οὐ κατέφλεξε, τὴν σὴν νηδὺν παμμακάριστε, ἐδρόσισε δὲ μᾶλλον καὶ κατεφώτισε.

Καταβασία. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Θησαυρὸν πολύτιμον ἡ Ἐκκλησία, τὴν σὴν Κάραν κέκτηται, Ἱερομάρτυς Ἀθλητά, τροπαιοφόρε ΧΑΡΑΛΑΜΠΕΣ. διὸ καὶ χαίρει τὸν Κτίστην δοξάζουσα.

Ὁ Οἶκος.

Τὸν στεῤῥὸν ὁπλίτην, καὶ Χριστοῦ στρατιώτην καὶ μέγαν ἐν Μάρτυσι, Χαραλάμπη τὸν πανένδοξον, συνελθόντες εὐφημήσωμεν· ὑπὲρ Χριστοῦ γάρ, καὶ τῆς ἀληθείας λαμπρῶς ἠγωνίσατο, καὶ τὴν Ὀρθόδοξον Πίστιν τρανῶς ἀνεκήρυξε, τὴν πλάνην τῶν εἰδώλων κατήργησε, Βασιλέα παρανομώτατον ἤλεγξε, καὶ τὴν Κάραν ἐτμήθη, χαίρων, καὶ ἀγαλλόμενος. διὸ καὶ τὸν στέφανον εἴληφε παρὰ τῆς δεξιᾶς τοῦ Ὑψίστου, καὶ συμπολίτης Ἀγγέλων ἐγένετο. ὅθεν ἡ Ἐκκλησία τῶν Ὀρθοδόξων τούτου τὴν πάντιμον Κάραν κατασπαζομένη, καὶ εὐφημίαις κατεστέφουσα, καὶ πολλῶν δεινῶν, καὶ νόσων ἀπαλλαττομένη, χαίρει τὸν Κτίστην δοξάζουσα.

ΜΗΝ ΦΕΥΡΟΥΑΡΙΟΣ Ι΄. ΜΝΗΜΗ

## ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΧΑΡΑΛΑΜΠΟΥΣ

Στ. Κατηξιώθης Χαράλαμπες ἐκ ξίφους,
Καὶ λαμπρότητος, καὶ χαρᾶς τῶν Μαρτύρων.
Τῇ δεκάτῃ Χαράλαμπες γ᾽ ἐτμήθης ἀπὸ λαιμόν.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ παμβασιλεὺς, μᾶς διδάσκει εἰς τὸ θεῖον αὐτοῦ καὶ Ἱερὸν Εὐαγγέλιον, ἂν θέλωμεν νὰ ἀκολουθήσωμεν ὀπίσω του, νὰ ἀπαρνηθῶμεν τὸν ἑαυτόν μας, καὶ νὰ σηκώσωμεν τὸν Σταυρόν μας ἐπάνω μας, καὶ νὰ τὸν ἀκολουθήσωμεν· τὸ ὁποῖον τὸ ἐκατόρθωσαν πολλοὶ θαυμάσιοι, καὶ ἁγιώτατοι ἄνθρωποι, καθὼς ἦσαν οἱ Ἀσκηταὶ καὶ ἐρημῖται, οἱ ὁποῖοι ἀπηργοῦντο τὸν Κόσμον, καὶ τὰ ἐγκόσμια, τὴν ἀπάθειαν τοῦ σώματος, πλοῦτον, καὶ δόξαν ἀμάραντον, καὶ ἔφυγον εἰς τὰς ἐρημίας, καὶ εὑρίσκοντο πάντοτε εἰς τὴν προσαγὴν τοῦ Θεοῦ, εἰς προσευχὰς ἡμερινάς τε, καὶ ὁλονυκτίους, καὶ ἄλλον σκοπὸν δὲν εἶχον, πάρεξ πῶς νὰ ἀρέσουν τὸν ποιητὴν καὶ πλάστην τους Θεόν. Τοιοῦτοι ἐστάθησαν καὶ οἱ σοφώτατοι Διδάσκαλοι τῆς Ἐκκλησίας μας, οἱ ὁποῖοι ἕνα καὶ μόνον σκοπὸν εἶχον, πῶς νὰ ὠφελήσουν ψυχὰς ἀνθρώπων, πῶς νὰ τοὺς ἐπιστρέψουν εἰς τὰ ὀρθὰ δόγματα τῆς Ἐκκλησίας, πῶς νὰ τοὺς στερεώσουν εἰς τὴν Ὀρθοδοξίαν, καὶ δὲν ἐφρόντιζον μήτε διὰ τὴν ἀνάπαυσιν τοῦ κορμίου, μήτε διὰ πλοῦτον, καὶ ἄλλα κτήματα. Ἐξαιρέ-

τους δὲ ἐστάθησαν τοιοῦτοι οἱ ἁγιώτατοι Μάρτυρες, οἱ γενναῖοι στρατιῶται τοῦ ἐπουρανίου Βασιλέως Χριστοῦ, οἱ καλλίνικοι νικηταὶ τῆς πλάνης, καὶ τῆς ἀσεβείας, καὶ αὐτοῦ τοῦ κοσμοκράτορος διαβόλου; οἱ ὁποῖοι, οὐ μόνον ἐκαταφρόνησαν πλούτη, καὶ κτήματα, καὶ δόξας, ἀλλὰ καὶ αὐτὸ τὸ ἴδιόν τους κορμὶ ἐπαράδωκαν εἰς μυρίας τιμωρίας, καὶ βασάνους ἀνηκούστους, εἰς τόσον ὁποῦ καὶ αὐτὴν τὴν γλυκυτάτην ζωήν τους ἐκαταφρόνησαν, καὶ ἐπρόκριναν τὸν θάνατον. Αὐτοὶ οἱ Μάρτυρες βεβαιότατα ἀπαρνήθησαν τὸν Κόσμον, καὶ τὸν ἑαυτόν τους· ἐπειδὴ καὶ ὑστερήθησαν τὴν παροῦσαν πολυπόθητον ζωήν, καὶ ἐσήκωσαν ἐπάνω τὸν Σταυρόν τους, καὶ ἐφύλαξαν βεβαίαν καὶ στερεὰν τὴν Ὀρθόδοξον Πίστιν, καὶ τὴν ἀγάπην τοῦ Χριστοῦ, στοχαζόμενοι ὀρθῶς, πῶς οὐκ ἔχομεν ὧδε μένουσαν πόλιν, καὶ διὰ τοῦτο ὁλοψύχως ἐπεζήτουν τὴν μέλλουσαν. τούτου χάριν καὶ ἐδοξάσθησαν ὑπὸ Θεοῦ, καὶ ἐτιμήθησαν, καὶ οὐ μόνον ἀπολαμβάνουσι τὴν Οὐράνιον Βασιλείαν, καὶ χαίρουσιν αἰωνίως μὲ τὸν Χριστόν, διὰ τὸν ὁποῖον ἔχυσαν τὸ αἷμά τους, ἀλλὰ ἀκόμη καὶ ἀπανταχοῦ τῆς Οἰκουμένης τιμῶνται, καὶ ἑορτάζονται, καὶ θέλουν δοξασθῆ εἰς αἰῶνα τὸν ἅπαντα. Τοιοῦτος καλλίνικος καὶ γενναῖος στρατιώτης Χριστοῦ ἐστάθη καὶ ὁ σήμερον ἑορταζόμενος, καὶ τιμώμενος· ὁ Ἱερομάρτυς λέγω καὶ Μεγαλομάρτυς ΧΑΡΑΛΑΜΠΗΣ, ὁ ὁποῖος ἦτον πρότερον Ἱερεὺς ἐννομώτατος εἰς τὴν Ἐπαρχίαν τῆς Μαγνησίας. Μετὰ δὲ τοὺς καιροὺς ἐκείνους ἐβασίλευσεν εἰς τὴν Ῥώμην Σεβῆρος ὁ δυσσεβής, καὶ εἰς τὴν Ἀσίαν ἦτον ἕνας ἡγεμὼν ἀπηνής, καὶ ἀνήμερος, Λουκιανὸς ὀνομαζόμενος, ὅς τις ἐβασάνιζε πολλοὺς Χριστιανοὺς διὰ νὰ ἀρνηθοῦν τὴν ἀσέβειαν, καὶ νὰ προσκυνοῦσιν ἀναίσθητα εἴδωλα. καὶ μαθὼν ὅτι ἐκεῖ εἰς τὴν πόλιν τῆς Μαγνησίας, ἦτον ἕνας Ἱερεὺς Χαραλάμπης ὀνομαζόμενος, καὶ ὕβριζε τοὺς Θεούς, διδάσκοντας τοὺς Λαοὺς παῤῥησία νὰ πιστεύουν εἰς τὸν

Χριστὸν, ἐθυμώθη, καὶ ἔστειλε στρατιώτας νὰ τὸν φέρωσι. καὶ ἰδὼν αὐτὸν ἠρώτησε, διὰ τί ἐκαταφρόνει τὰ εἴδωλα, καὶ τὰ βασιλικὰ δόγματα; ὁ δὲ Ἅγιος ἀπεκρίνατο· ἐγὼ ὑπακούω εἰς τοῦ ἐπουρανίου Βασιλέως Χριστοῦ τὰ δίκαια, καὶ σωτήρια προστάγματα. ἀμὴ ὁ Σεβῆρος γράφει μάταια καὶ ἀσύνετα λόγια· ἐπειδὴ προστάσσει νὰ προσκυνῆτε διὰ Θεοὺς ἀναίσθητα καὶ ἄψυχα εἴδωλα, καὶ παραδίδει τὰς ψυχάς σας εἰς θάνατον. ἀμὴ ὁ Δεσπότης μου Χριστὸς δίδει ζωὴν αἰώνιον, καὶ μακαριότητα εἰς τοὺς δούλους του. καὶ ὅπου ἐπικαλεσθῇ τὸ παντοδύναμον αὐτοῦ ὄνομα, φεύγουν οἱ δαίμονες ὁποῦ προσκυνεῖτε, ὡς ὑποχείριοι καὶ ἀνίσχυροι, καὶ πᾶσα ἀσθένεια ἀνίατος ἰατρεύεται. Λέγει τον ὁ Ἄρχων· ἄφες τὴν περισσολογίαν γέροντα, καὶ κάμε ὡς φρόνιμος τὸ συμφέρον σου· προσκύνησον τοὺς Θεοὺς, πρὶν δοκιμάσῃς τὰ σκληρὰ καὶ παράδειγμα κολαστήρια. Καὶ ὁ Ἅγιος· ἐὰν δὲν βασανισθῶμεν ἐδῶ πρόσκαιρα, δὲν κληρονομοῦμεν τὰ αἰώνια ἀγαθὰ εἰς τὸν Παράδεισον. Τότε ταραχθέντες οἱ ἄρχοντες, ἔφερον τὰ δεινότερα κολαστήρια, λέγοντες· θῦσον τοῖς Θεοῖς, κακὴ κεφαλή. Καὶ ὁ Ἅγιος· μὴ γένοιτο νὰ γένω τόσον μωρὸς καὶ ἀνόητος, νὰ προσκυνήσω τοὺς ἀναισθήτους δαίμονας ὁποῦ σέβεσθε, οἱ ὁποῖοι αὐτοὶ φοβοῦνται τὴν δύναμιν τοῦ Σταυροῦ καὶ φεύγουσι. Τότε ἐγύμνωσαν αὐτὸν, καὶ λαβόντες χειράγρας, κατεξέχιζον ἀπὸ τὴν κεφαλὴν ἕως τοὺς πόδας τὰς σάρκας του· ὁ δὲ Μακάριος ὑπομένων γενναίως αὐτὴν τὴν ἀνυπόιστον βάσανον, καὶ εἰς ὅλον τὸ σῶμα δεινῶς σπαραττόμενος, ἔλεγεν· εὐχαριστῶ σας ἀδελφοὶ, ὅτι βασανίζοντές μου τὸ σῶμα, προξενεῖτε τῆς ψυχῆς μου, εἰς τὸν μέλλοντα αἰῶνα αἰωνίαν μακαριότητα. Ταῦτα λέγοντος τοῦ Ἁγίου, οἱ ὑπηρέται ἐθαύμαζον, καὶ ἔλεγον πρὸς τοὺς ἄρχοντας· τὴν ἀτιμίαν νομίζει τιμὴν οὗτος ὁ ἀν-

θρωπος, καὶ τὴν βάσανον ἄμεσιν· μήπως καὶ εἶναι αὐτὸς ὁ Χριστὸς, καὶ ἦλθε νὰ μᾶς δοκιμάσῃ, καὶ διὰ τοῦτο αἱ χειράγραι ἀποστομώνονται, καὶ δὲν ξεσχίζουν πλέον τὰς σάρκας του; Ταῦτα ἀκούσας ὁ Δοὺξ ἐθυμώθη, καὶ ὑβρίζωντας τοὺς ὑπηρέτας, πῶς ἦσαν ἀμελεῖς καὶ ἀδύνατοι, ἅρπασε τὰς χειράγρας ἀπὸ τὰς χεῖράς τους, καὶ ἄρχισε νὰ ξεσχίζῃ τὸ σῶμα τοῦ Ἁγίου μὲ πολλὴν ὀργὴν ὁ θεόργιστος, ἀλλὰ παρευθὺς ἔφθασεν ἡ θεία δίκη τὸν ἄδικον, καὶ ἐκόπησαν (ὢ τοῦ θαύματος) ἀπὸ τοὺς ἀγκῶνας αἱ χεῖρές του, καὶ ἐκρέμοντο εἰς τὸ σῶμα τοῦ Μάρτυρος. αὐτὸς δὲ ὁ δείλαιος ἔπεσε κατὰ γῆς φωνάζωντας· βοήθει μοι ἡγεμὼν, ὅτι μάγος εἶναι οὗτος ὁ ἄνθρωπος. Πλησιάσας οὖν ὁ ἡγεμὼν, καὶ ἰδὼν τὰς χεῖρας τοῦ Δουκὸς κρεμαμένας εἰς τὸ σῶμα τοῦ Μάρτυρος, τοῦ ἔπτυσεν εἰς τὸ πρόσωπον, καὶ εὐθὺς καὶ ἐστράφη τὸ πρόσωπόν του εἰς τὸν τράχηλον, καὶ ἔμεινεν ἐλεεινὸν θέαμα. Τότε ἡ Πόλις ὅλη τῆς Μαγνησίας ἐφοβήθησαν, καὶ ἐπαρακαλοῦσαν τὸν Δίκαιον, λέγοντες· ἀπόστρεψον ἀφ' ἡμῶν τὴν ὀργὴν τοῦ Κυρίου Ὅσιε· οὕτω σε προστάσσει ὁ Χριστὸς νὰ μὴ ἀποδίδῃς κακὸν ἀντὶ κακοῦ, ἀλλὰ νὰ εὐεργετῇς τοὺς μισοῦντάς σε. Λέγει τους ὁ Ἅγιος· ζῇ Κύριος ὁ Θεός μου, δὲν εἶναι δόλος εἰς τὴν γλῶσσαν μου, ἀλλὰ ὁ Κύριος ἐπαίδευσεν αὐτοὺς ὡς χείρονας, διὰ νὰ δώσῃ ἐσᾶς ζωὴν αἰώνιον. Τότε τὸ πλῆθος ὅλον ἐβόησε πρὸς Κύριον λέγοντες· μὴ μας ἀπολέσῃς Δέσποτα, ἀλλὰ συγχώρησόν μας εἰς ὅσα ἐπταίσαμεν· καὶ οὕτω πολλοὶ ἐπίστευσαν. Ὁ δὲ Δοὺξ ἐδέετο τοῦ Ἁγίου λέγωντας· Ἄγγελε τοῦ Θεοῦ, καὶ οὐράνιε ἄνθρωπε, βοήθησόν μοι τῷ τάλανι. Ἰδοὺ ἔχεις τὸ βάρος τῶν χειρῶν μου ἐπάνω σου, καὶ ἐγὼ ὑπομένω τὸν κόπον, καὶ βάσανον. λοιπὸν ἰάτρευσόν με, νὰ λυτρωθῶ ἀπὸ τὰς ὀδύνας, καὶ σὺ ἀπὸ κόπον καὶ μέριμναν, καὶ ἐὰν λάβω τὴν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἴασιν, νὰ πιστεύσω εἰς τὸν Θεόν σου βέβαια. Ὁ μὲν οὖν Ἅγιος ηὔξατο ταῦτα πρὸς Κύριον· ἀδ χαριστοῦμέν σοι Δέσποτα ὁποῦ μᾶς φυλάττεις πάντοτε. ἐπίβλεψον εἰς τὴν ταπείνωσιν τῶν πεπεδημένων, καὶ λῦσον ἀπὸ τὰ δεσμὰ εἰς δόξαν σου. Τότε ἦλθε φωνὴ λέγουσα, χαίροις ἀθλητὰ ΧΑΡΑΛΑΜΠΕΣ, Ἀγγέλων συνόμιλε, καὶ Ἀποστόλων ὁμότροπε. ἐπήκουσα τὴν δέησίν σου, καὶ δίδω τοῖς ἀσθενέσι τὴν ἴασιν. καὶ παρευθὺς ἰατρεύθησαν. καὶ πιστεύσας ὁ Δοὺξ, ἐβαπτίσθη εἰς τὸ ὄνομα Πατρὸς, Υἱοῦ καὶ Ἁγίου Πνεύματος. ὁ δὲ ἡγεμὼν ἔπαυσε τὸν διωγμὸν κατὰ τῶν Χριστιανῶν, ἕως νὰ δώσῃ τοῦ Βασιλέως εἴδησιν.

Τότε ἐσυνάγοντο ὅλοι τῆς Μαγνησίας καὶ Ἀσίας πρὸς τὸν Ἅγιον, καὶ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν, ἐβαπτίζοντο. πολλὰ δὲ θαύματα καὶ ἰάματα εἰς τοὺς ἀσθενεῖς ἐτέλει καθ' ἑκάστην ὁ Ἅγιος. τυφλοὶ ἀνέβλεπον, χωλοὶ καὶ κουτζοὶ ἐπεριπατοῦσαν, δαίμονες ἔφευγον, νεκροὶ ἀνεσταίνοντο, καὶ πᾶσα νόσος καὶ ἀσθένεια ἰατρεύετο· τὰ ὁποῖα βλέπων ὁ ἡγεμὼν, ἀπῆλθεν εἰς τὸν Βασιλέα, καὶ τοῦ ἀνήγγειλε διὰ τὸν Ἅγιον ἅπαντα τὰ γενόμενα, ὡς ἄνωθεν εἴπομεν. Ὁ δὲ σοβαρὸς Σεβῆρος ταῦτα ἀκούσας, ἐθυμώθη, καὶ ἔλεγε· διὰ τί ἀμελεῖτε Θεοὶ αἰώνιοι, καὶ δὲν ἐξολοθρεύετε ἀπὸ τὴν γῆν τοὺς ἀσεβεῖς ὁποῦ σᾶς ὑβρίζουσι; καὶ εὐθέως ἔστειλε στρατιώτας τριακοσίους, προστάσσωντάς τους νὰ ἐμπήξουν καρφία εἰς ὅλην τὴν ῥάχιν τοῦ Μάρτυρος, ἔπειτα νὰ τὸν σύρνουν ἀπὸ τὴν Μαγνησίαν ἕως τὴν Ἀντιόχειαν. οἱ δὲ ἀπελθόντες ἐκάρφωσαν τοὺς ἥλους μὲ πολλὴν ἀσπλαγχνίαν εἰς ὅλον τὸ σῶμα τοῦ Μάρτυρος, καὶ δένοντές τον ἀπὸ τὴν γένειάδα, τὸν ἐτράβιζον ἀνηλεῶς οἱ ἀπάνθρωποι, καὶ τὸν ἐκάθιζον ἐμπαικτικῶς ἐπάνω εἰς ἕνα ἄλογον. Ὅταν οὖν τὸν ἐπήγασι ιε. στάδια, ἐ-

λάλησε ταῦτα μεγαλοφώνως τὸ ἄλογον λέγον· ὦ τρισκατάρατοι στρατιῶται ὑπηρέται τοῦ Βασιλέως διαβόλου, δὲν βλέπετε πῶς εἶναι ὁ Θεὸς μὲ τοῦτον τὸν ἄνθρωπον, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον; λύσατέ τον σκληροτράχηλοι, νὰ λυθῆτε καὶ ἐσεῖς ἀπὸ δεσμὰ ἀόρατα. Τότε οἱ στρατιῶται φοβηθέντες, τὸν ὑπήγασι μὲ ἄνεσιν εἰς τὴν Ἀντιόχειαν διὰ νὰ μὴ παρέβουν τὸ πρόσταγμα. ὁ δὲ Διάβολος ἐμετασχηματίσθη εἰς εἶδος γέροντος, καὶ ἐφάνη εἰς τὸν Σεβῆρον, λέγωντας· οὐαί μοι Βασιλεῦ, ἐγὼ εἶμαι ὁ Βασιλεὺς τῶν Σκυθῶν, καὶ ἦλθεν εἰς τὴν πατρίδα μου ἕνας μάγος Χαραλάμπης καλούμενος, καὶ μοῦ ἐπῆρεν ὅλους τοὺς στρατιώτας, καὶ ἦλθον νὰ σοῦ τὸ εἰπῶ, νὰ φυλαχθῇς νὰ μὴ πάθῃς τὸ ὅμοιον. Τότε ἔφερον καὶ τὸν Ἅγιον, καὶ προστάσσει νὰ τοῦ καρφώσουν σοῦβλαν μεγάλην εἰς τὸ στῆθος, ἔπειτα νὰ φέρουν ξύλα καὶ πῦρ νὰ τὸν καίουν, ἕως νὰ ξεψυχήσῃ. Ἐκάρφωσάν του λοιπὸν τὴν σοῦβλαν, καὶ ὥραν πολλὴν τὸν ἐκατακαίασιν, ἀλλὰ ποσῶς δὲν ἐβλάφθη ὑπὸ τοῦ πυρὸς, ὅτι αὐτὸ μὲν ἔσβυσεν, οἱ δορυφόροι ἐκουράσθησαν, ὁ δὲ Ἅγιος ἀνέθαλλε, καὶ ἔστεκεν ὡς ῥόδον εὔοσμον· ὅθεν ὁ Βασιλεὺς εἶπε νὰ τὸν λύσουν, καὶ νὰ τὸν φέρουν πλησίον, καὶ λέγει του διὰ πρόφασιν· ὁ Βασιλεὺς τῶν Σκυθῶν μὲ ἔκαμε καὶ σὲ ὕβρισα, ἀλλὰ μὴ κακίσῃς, καὶ εἰς ὅσα σὲ ἐρωτήσω δός μοι ἀπόκρισιν. καὶ εἶπέ μου πόσων χρόνων εἶσαι, καὶ τοῦ εἶπεν, ὅτι ἦτον ριγ΄. χρόνων. Λέγει τον ὁ Βασιλεὺς· ἐπειδὴ τόσους χρόνους ἔζησας, πῶς δὲν ἔχεις τόσην γνῶσιν, νὰ γνωρίσῃς τοὺς ἀθανάτους Θεοὺς, ἀλλὰ προσκυνεῖς τὸν Χριστὸν, ὡς ἄγνωστος; Καὶ ὁ Ἅγιος, ἐπειδὴ πολλοὺς χρόνους ἔζησα, ἐγνώρισα τὴν ἀλήθειαν, καὶ προσκυνῶ τὸν ὄντως Θεὸν τὸν παντοδύναμον καὶ οἰκτίρμονα. Ἐσὺ καὶ νεκρὸν ἐμπορεῖς νὰ ἀναστήσῃς ὡς ἤκουσα, λέγει ὁ Βασιλεύς. Καὶ ὁ Ἅγιος,

αὐτὸ μόνον ὁ Δεσπότης Χριστὸς δύναται νὰ τὸ κάμῃ, καὶ ὄχι ἄνθρωπος. Τότε προσέταξεν ὁ Σεβῆρος, καὶ ἦλθεν ἐκεῖ εἰς τὸ μέσον ἕνας δαιμονιζόμενος, ὅς τις ἦτον ἀπὸ τὸν ἐχθρὸν, καὶ μισόκαλον λϛ΄. χρόνους βασανιζόμενος, καὶ πλησίον τοῦ Ἁγίου παραγενόμενος, ἐφώναζεν ὁ δαίμων, ὥσπερ δεινῶς ὀδυνώμενος, καὶ ὑπὸ πυρὸς φλογιζόμενος, δέομαί σου δοῦλε τοῦ Χριστοῦ, μήμε πρὸ καιροῦ βασανίσῃς. ἀλλ' εἰπὲ λόγον, καὶ ἐξέρχομαι, καὶ ἂν ὁρίζῃς θέλω εἰπῆ καὶ τὸν τρόπον, καὶ τὴν αἰτίαν ὅπου εἰσῆλθον εἰς τοῦτον τὸν ἄνθρωπον. Καὶ ὁ Ἅγιος, εἰπὲ πνεῦμα ἀκάθαρτον. Τότε εἶπε τὸ δαιμόνιον· οὗτος ἔκλεψε τὰ πράγματα τοῦ γειτόνου του, καὶ τὸν κληρονόμον αὐτοῦ ἐφόνευσεν· ὅθεν ἀνευρίσκωντάς τον εἰς τοιαύτην ἀνομίαν ἀσχολούμενον, εἰσῆλθον εἰς αὐτὸν, καὶ τὸν βασανίζω τώρα χρόνους ἓξ καὶ τριάκοντα. Τότε τὸν ἐπετίμησεν ὁ Ἅγιος καὶ ἀφῆκεν. Ὁ δὲ Βασιλεὺς ἐθαύμασε λέγων· μεγάλος εἶναι ὁ Θεὸς τῶν Χριστιανῶν κατ' ἀλήθειαν. Καὶ μεθ' ἡμέρας τρεῖς ἀπέθανεν ἕνας νέος, καὶ λέγει ὁ Βασιλεὺς πρὸς τὸν Ἅγιον· ἀνάστησον τὸν νεκρὸν τοῦτον, ἐὰν δύνασαι. καὶ ποιήσας προσευχὴν ὥραν πολλὴν, ἀνέστη, ὅθεν πολλοὶ ἀπὸ τὸν ὄχλον ἐπίστευσαν. ὁ δὲ ἔπαρχος Κρίσπος εἶπε τῷ Βασιλεῖ· θανάτωσον τοῦτον τὸν ἄνθρωπον, ὅτι μὲ μαντείας κάμνει τοιαῦτα τερατουργήματα. Εὐθὺς οὖν ὁ Σεβῆρος ἐμεταγνώμησε, καὶ λέγει τῷ Μάρτυρι, θῦσον τοῖς Θεοῖς Χαράλαμπες νὰ φύγῃς τὰ κολαστήρια. Λέγει τον ὁ Ἅγιος· ὅσον μὲ κολάσεις χειρότερα, τόσον μᾶλλον ἡ ψυχή μου ἀνφραίνεται. τότε ὀργισθεὶς ὁ Βασιλεὺς, ἐπρόσταξε νὰ δέρουν μὲ λίθους τὰς σιαγόνας του, καὶ μὲ λαμπάδας νὰ καύσουν τὸ πρόσωπον αὐτοῦ, καὶ τὰ γένεια. τὸ δὲ πῦρ ἐπήδησε καὶ ἔκαυσε τοὺς περιεστῶτας ὑπηρέτας. καὶ θαυμάζων εἰς ταῦτα ὁ Βασιλεὺς, ἠρώτα τοὺς ἄρχοντας·

τίς εἶναι ὁ Χριστὸς ὁποῦ κάμνει τοιαῦτα τερατουργήματα; λέγει τον ὁ Κρίσπος ὁποῦ ἦτον ἔπαρχος· ἀπὸ πορνείαν ἐγεννήθη ἐκ μιᾶς γυναικὸς Μαρίας ὀνόματι. Ὁ δὲ Ἀρίσταρχος ἀπεκρίνατο. μὴ βλασφημᾶς ἔπαρχε, ὅτι ἐσὺ δὲν ἰξεύρεις τοιαῦτα μυστήρια. τότε ὁ Βασιλεὺς ἐθυμώθη ὑπέρμετρα, καὶ ὥρμησε νὰ πολεμήσῃ τὸν Οὐρανὸν ὁ ἀνόητος. καὶ ῥίπτοντας σαΐτας εἰς τὸν ἀέρα, ἐβόησε· κατάβα Χριστὲ εἰς τὴν γῆν νὰ πολεμήσωμεν· εἰ δὲ, ἐγὼ ἀναβαίνω νὰ σὲ εὕρω νὰ χαλάσω τὸ στερέωμα, νὰ σβύσω τὸν Ἥλιον. Τότε γίνεται σεισμὸς, καὶ φόβος μέγας καὶ ἀγανάκτησις, ὅτι ὁ Κύριος ὠργίσθη, ὁ Οὐρανὸς ὡς δένδρον ἐσείετο, καὶ αἱ ἄνω δυνάμεις δυνατῶς ἐσαλεύθησαν, καὶ ἀστραπαὶ καὶ βρονταὶ μεγάλαι ἠκούοντο. καὶ εὐθέως ἐκρεμάσθησαν εἰς τὸν ἀέρα ὅ,τε Βασιλεὺς, καὶ Κρίσπος ὁ ἔπαρχος. καὶ ἐφώναζεν ὁ Βασιλεὺς πρὸς τὸν Ἅγιον· Κύριέ μου Χαράλαμπες δικαίως ἔπαθον, δεήθητι Κυρίου τοῦ Θεοῦ σου νὰ με λυτρώσῃ ἀπὸ τὴν παίδευσιν, καὶ νὰ γράψω τὸ ὄνομά του εἰς ὅλας τὰς πόλεις νὰ τὸν δοξάζουσι. Τότε ἦλθεν ἐκεῖ καὶ ἡ Θυγάτηρ τοῦ Βασιλέως Γαλήνη ὀνόματι, καὶ λέγει του· πίστευσον εἰς τὸν Κύριον, νὰ σὲ λυτρώσῃ ἀπὸ τὰ δεινὰ ὡς Οἰκτίρμων καὶ πανάγαθος, ὅτι αὐτὸς ὁ Χριστὸς εἶναι μόνος Θεὸς ἀδιάδοχος. Τότε προσεκύνησε τὸν Ἅγιον λέγουσα· παρακάλεσον τὸν Κύριον νὰ λυτρώσῃ ἀπὸ τὰς ὀδύνας τὸν πατέρα μου, καὶ εἰ μὲν πιστεύσῃ, ἤδη καλῶς, εἰ δὲ κἂν σὲ κάμνει μετὰ θάνατον τέλειον. Προσευξαμένου λοιπὸν τοῦ Ἁγίου, ἔπαυσε τοῦ Θεοῦ ἡ ἀγανάκτησις, καὶ κατέβησαν εἰς τὴν γῆν ὁ Βασιλεὺς μὲ τὸν ἔπαρχον, καὶ ἀπελθόντες εἰς τὸ παλάτιον, ἔκαμαν τρεῖς ἡμέρας συλλογιζόμενοι τὸν φόβον τοῦ Θεοῦ, καὶ τὴν ἀγανάκτησιν. ἡ δὲ Θυγάτηρ τοῦ Βασιλέως εἶδεν ὅραμα, καὶ τὸ ἀνέφερε πρὸς τὸν Ἅγιον, οὕτω λέγουσα· ἐφάνη μοι πῶς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

εὑρέθην εἰς ἕνα περιβόλι ὡραιότατον μὲ δένδρα ἀνωδέςατα, καὶ βρύσιν εὔμορφον, καὶ ἦσαν πλησίον ὁ Πατήρ μου μὲ τὸν ἔπαρχον· ὁ δὲ φύλαξ τοῦ Παραδείσου ἐδίωξεν αὐτοὺς μὲ πυρίνην ῥάβδον, καὶ ἐμένα ἐσήκωσε, καὶ μὲ ἔβαλε μετὰ τιμῆς, καὶ λέγει μου· ἐσένα ἐδόθη ἡ κατοικία αὐτὴ καὶ τοῖς ὁμοίοις σου, νὰ συνευφραίνεσθε πάντοτε. αὐτὰ εἶδον, καὶ παρακαλῶ σε διδάσκαλε νὰ μοῦ εἴπῃς τὴν ἐξήγησιν· Ὁ δὲ ἀπεκρίνατο· τὸ περιβόλι ὁποῦ εἶδες, εἶναι τῶν δικαίων ὁ Παράδεισος, καὶ σὲ ἔβαλε μέσα ὁ Δεσπότης Χριστὸς, διατὶ τὸν ἐπίςευσας. τὸν δὲ πατέρα σου καὶ τὸν ἔπαρχον ἐδίωξε, διατὶ μέλλουν νὰ ἀποςατήσουν, νὰ μᾶς κακοποιήσουν οἱ ἀχάριςοι. οὕτως εἶπε· καὶ μετὰ ἡμέρας τριάκοντα, ἐπροσκάλεσεν ὁ Βασιλεὺς τὸν Ἅγιον, καὶ λέγει του· θυσίασον εἰς τοὺς Θεοὺς νὰ κάμῃς τὸν λόγον μου, καὶ νὰ τιμήσῃς τοῦ λόγου σου. Ὁ δὲ ἀπεκρίνατο· τὰ λόγιά σου εἶναι πικρὰ καὶ ἀσύνετα, καὶ δὲν πρέπει νὰ σοῦ ὑποταχθῶ ὡς δοῦλος Θεοῦ καὶ ὑπήκοος. Ὀργισθεὶς οὖν ὁ Βασιλεὺς, ἐπρόςαξε καὶ τοῦ ἔβαλον χαλινάρι εἰς τὸ ςόμα, ὥσπερ νὰ ἦτον ζῶον ἄλογον, καὶ τὸν ἐπόμπευον εἰς ὅλην τὴν πόλιν μὲ πολλὴν καταφρόνησιν. ὁ δὲ Ἅγιος ηὔχετο λέγων· Δέσποτα Κύριε ὁποῦ ἔπλασας τὸν ἄνθρωπον καὶ τὸν ἐτίμησας κατὰ τὴν εἰκόνα σου καὶ ὁμοίωσιν, ἐπίβλεψον εἰς τὴν μανίαν ταύτην καὶ ἀπειλὰς τοῦ τυράννου, ὅτι ταῦτα πάσχω διὰ τὸ ὄνομά σου τὸ ἅγιον. Ἡ δὲ Γαλήνη ἐσυμβούλευεν ὥραν πολλὴν τὸν πατέρα της νὰ ἀπέχῃ ἀπὸ τὴν ἁμαρτίαν ταύτην, καὶ νὰ πιςεύσῃ εἰς αὐτὸν τὸν Θεὸν ὁποῦ ὡμολόγησε διὰ νὰ μὴ κολασθῇ αἰώνια· ἀλλ' αὐτὸς ὁ ἀσύνετος οὐδὲν ὠφελήθη, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐτράπη, καὶ τὴν ἐπρόςαξε νὰ θυσιάσῃ τὰ εἴδωλα. αὐτὴ δὲ ἡ πάνσοφος διὰ νὰ

τὸν ἐμπαίξῃ, τοῦ ἔταξε νὰ τὰ προσκυνήσῃ, καὶ ἀπελθοῦσα εἰς τὸν Ναὸν τοῦ Διὸς καὶ Ἀπόλλωνος εἶπεν εἰς τοὺς Ἱερεῖς, δεήθητε τοὺς Θεοὺς νὰ δεχθῶσι τὴν προσευχήν μου, ὁποῦ τοὺς ὕβρισα. Οἱ δὲ ἐβόησαν· ὁ μέγας Θεὸς Ζεὺς, καὶ ὁ κραταιὸς Ἀπόλλων, οἱ ποιηταὶ τοῦ Οὐρανοῦ καὶ τῆς γῆς συγχωρήσατε τὴν Δέσποιναν Γαλήνην διὰ τὴν ἀγάπην τοῦ Πατρός της. Ἡ δὲ μακαρία ἔκραξε τὸν Δία λέγουσα· ἐὰν εἶσαι Θεὸς, πῶς δὲν γνωρίζεις τὴν γνώμην μου, καὶ τὸν ἔρριψε κάτω καὶ ἐσυντρίφθη. Τότε ἅρπαξε καὶ τὸν Ἀπόλλωνα, καὶ λέγει του· ἔλα κάτω, καμποῦρη, σαπρόγηρε, τῶν ἀνθρώπων ἡ ἀπώλεια. καὶ ἐγκρεμνίσασα αὐτὸν καὶ ἄλλα λδ΄. εἴδωλα, ἀπῆλθον οἱ Ἱερεῖς εἰς τὸν Βασιλέα λέγοντες· τώρα μέλλει νὰ χαθῇ ὁ Κόσμος καὶ νὰ σβύσῃ ὁ Ἥλιος, ὅτι οἱ Θεοί μας διερράγησαν, καὶ ἀπέθανον, ὅτι ἡ Θυγάτηρ σου τοὺς ἐγκρέμνισε. Λέγει τοὺς ὁ Σεβῆρος· εὑρῆτε πενῆντα μαστόρους νὰ τοὺς ἀποκαταστήσουν τὴν νύκτα, νὰ μὴ τοὺς στήσουν εἰς τὸν τόπον τους, νὰ μᾶς γελοῦν οἱ Γαλιλαῖοι, πῶς οἱ Θεοί μας ἐσυντρίφθησαν· καὶ οὕτως ἐποίησαν, καὶ τὸ πρωῒ εἶπασι τῆς Γαλήνης, ἔλθε Δέσποινα νὰ ἴδῃς πῶς οἱ Θεοὶ ἀνεστάθησαν. ἡ δὲ ἀπελθοῦσα καὶ ἰδοῦσα τὴν ἀναχώνευσιν, ἐγνώρισε τὴν πονηρίαν καὶ λέγει· ἂς μὴ ἀμελήσω νὰ συντρίψω νεωτέρους Θεούς· καὶ εἶπε ταῦτα πρὸς τὰ ξόανα· ἀπὸ νεκρῶν ἀναστάντες, ὡς νεκροὶ πάλιν καταποντίσθητε. ταῦτα εἰποῦσα ἐγκρεμνίσθησαν ἅπαντα.

Ταῦτα πάλιν ἀκούσας ὁ Βασιλεὺς ἐθυμώθη, καὶ λέγει πρὸς τὴν Γαλήνην· τί ἔκαμες μιαρωτάτη; ἡ δὲ ἀπεκρίνατο· ἐπειδὴ εἶστε ἀνόητοι, καὶ τοὺς νομίζετε Θεοὺς, τοὺς ἐγκρέμνισα· καὶ ἐὰν ἔχῃς καὶ ἄλλους, νὰ τοὺς κάμω τὰ ὅμοια, διὰ νὰ γνωρίσετε τὴν πλάνην σας, νὰ μὴ ἐλπίζετε εἰς αὐτοὺς, ὁποῦ δὲν δύνανται νὰ ὠφελήσουν

τὰς εἰς αὐτὰς πιςεύοντας, μήτε τοὺς μισοῦντας αὐτοὺς, νὰ φονεύσωσι. Τότε θυμωθεὶς ὁ Τύραννος, ἐπρόςαξε διὰ ὕβριν τοῦ Μάρτυρος νὰ τὸν παραδώσουν μιᾶς χήρας γυναικὸς νὰ τὸν φυλάξῃ εἰς τὸν οἶκόν της. Ὡς καθὼς ὑπῆγεν ὁ Ἅγιος, ἀκουμπίσας εἰς ἕνα ςύλον ξηρὸν, ἐβλάςησεν (ὢ τοῦ Θαύματος) ἐκεῖνος ὁ ςύλος, καὶ ἔκαμε τόσους κλάδους, ὅπου ὅλον τὸν οἶκον ἐσκέπασεν. ἡ δὲ γυνὴ ἰδοῦσα τοιοῦτον παράδοξον, πρόσεκύνησε τὸν Ἅγιον λέγουσα· ὕπαγε ἀπὸ τὸ σπῆτί μου Κύριε, ὅτι δὲν εἶμαι ἀξία νὰ εἶσαι πλησίον μου. Ὁ δὲ εἶπεν αὐτῇ· μὴ φόβου γυνὰι, ἀλλὰ πίςευσον εἰς τὸν Κύριον, ὅς τις εἶναι Θεὸς αἰνετὸς καὶ εὔσπλαγχνος· Τῇ ἐπαύριον ἰδόντες τῆς γυναικὸς οἱ γείτονες τοιοῦτον δένδρον μεγάλον εἰς τὸ δωμάτιον μὲ ἄνθη καὶ καρπὸν, ἐθαύμασαν, καὶ εἰσελθόντες εἰς τὸν οἶκον, εὗρον τὸν Ἅγιον διδάσκοντα, καὶ τὸν ἠρώτων, ἐὰν αὐτὸς ἦτον ὁ Χριςός. Ὁ δὲ ἀπεκρίνατο· δοῦλος εἶμαι τοῦ Δεσπότου Χριςοῦ, καὶ μὲ τὴν χάριν αὐτοῦ ποιῶ τὰ θαυμάσια. Τότε ἡ γυνὴ εἶπε πρὸς αὐτοὺς τὴν ὑπόθεσιν, ἐγκωμιάζουσα τὸν Ἅγιον, καὶ πάντες τὸν ἐπροσκύνησαν, καὶ πιςεύσαντες εἰς τὸν Χριςὸν ἐβαπτίσθησαν. καὶ τὴν ἄλλην ἡμέραν ἀνήγγειλαν τινὲς τοῦ Βασιλέως αὐτὸ τὸ τεράςιον, καὶ θαυμάζοντες ὅλοι, εἶπεν ὁ ἔπαρχος· πρόςαξαι Βασιλεῦ νὰ τὸν ἀποκεφαλίσουν, νὰ μὴ κάμῃ καὶ ἄλλα τέρατα, νὰ πιςεύσουν εἰς τὸν Χριστὸν περισσότεροι. ὅθεν ἔδωκε κατ' αὐτοῦ τὴν τελευταίαν ἀπόφασιν, τὴν ὁποίαν λαβὼν ὁ Ἅγιος ὑπήγαινεν εἰς τὸν τόπον τῆς καταδίκης ψάλλων τὸ, Ἔλεον, καὶ κρίσιν ᾄσομαί σοι Κύριε. καὶ φθάσας ἐκεῖ, καὶ ὑψώσας πρὸς Οὐρανὸν τὰς χεῖρας καὶ ὄμματα, οὕτως ηὔξατο. εὐχαριςῶ σοι Κύριε ὁ Θεός μου πάντοτε, ὅτι ἐλεήμων ὑπάρχεις καὶ φιλάνθρωπος. ἐσὺ παντοδύναμε, ἐπά-

ταξας τὸν ἐχθρόν μας διάβολον, ϗ πατάξας τὸν Ἅ-
δην, ἐλύτρωσας ἀπὸ τὸν θάνατον τὸ ἀνθρώπινον γέ-
νος· μνήσθητί μου Κύριε ἐν τῇ Βασιλείᾳ σου. Ταῦτα προ-
σευχομένου τοῦ Μάρτυρος, οἱ Οὐρανοὶ ἠνεῴχθησαν, ϗ
ἦλθε πρὸς αὐτὸν μετὰ πλήθους Ἀγγέλων ὁ Κύριος, ϗ
λέγει του· ἐλθὲ προσφιλέστατε, ϗ ἠγαπημένε μου Χα-
ράλαμπες, ὁποῦ διὰ τὸ ὄνομά μου τοσοῦτον ἐκακοπάθη-
σας. ζήτησόν μοι εἴτινα χάριν θέλεις, νὰ σοῦ ἐπακού-
σω δοῦλέ μου. Ὁ δὲ ἀπεκρίνατο· ϗ τοῦτο μεγάλον μου
χάρισμα εἶναι, ὁποῦ ἠξιώθην νὰ ἰδῶ τὴν φοβερὰν δό-
ξαν τῆς παρουσίας σου. πλὴν ἐπειδὴ ἡ ἀγαθότης σου μὲ
προστάσσει νὰ σοῦ ζητήσω αἴτησιν, παρακαλῶ τὴν Βα-
σιλείαν σου νὰ μοῦ κάμῃς ταύτην τὴν χάριν· εἰς ὅποιον
τόπον εὑρεθῇ κομμάτι ἀπὸ τὸ λείψανόν μου, ϗ εἰς ὅ-
ποίαν χώραν μὲ θέλουν ἑορτάζῃ, νὰ μὴ γένῃ ποσῶς
πεῖνα, οὔτε πανοῦκλα νὰ θανατώνῃ τοὺς ἀνθρώπους
ἄωρα, οὔτε πονηρὸς ἄνθρωπος νὰ βλάπτῃ τοὺς καρ-
ποὺς, ἀλλὰ νὰ εἶναι εἰρήνη σταθερὰ, ψυχῶν σωτη-
ρία, ϗ σωμάτων ἴασις, πλῆθος σίτου, οἴνου, καὶ ἐ-
λαίου, καὶ τετράποδα, καὶ ἄλλα χρειαζόμενα. ϗ ὅσ-
τις ἔχει τὸ Μαρτύριόν μου, ϗ μνημονεύει με, νὰ μὴ
ψοφήσῃ τὸ βόδι του, μήτε ἄλλο τετράποδον, μήτε ἡ
ψυχή του νὰ λάβῃ τινὰ κακὸν πώποτε· ἐπειδὴ σάρ-
κα ϗ αἷμά εἰσι ποίημα τῶν ἀχράντων χειρῶν σου· καὶ
συγχώρησον τὰς ἁμαρτίας αὐτῶν, ὡς ἀγαθὸς καὶ φι-
λάνθρωπος, καὶ φύλαττε ὑγιῆ τὰ βόδιά τους νὰ γεωρ-
γοῦσι τὴν γῆν, νὰ ἀπολαμβάνουσι τοὺς καρποὺς ἄφ-
θονα, νὰ σὲ δοξάζουσι. Λέγει τον ὁ Κύριος· νὰ γένῃ
τὸ θέλημά σου δοῦλέ μου. καὶ τότε ὁ μὲν Κύριος ἀ-
νῆλθεν εἰς Οὐρανοὺς, ὁ δὲ Ἅγιος παρέδωκε τὴν ψυ-
χὴν ἐν εἰρήνῃ χωρὶς νὰ τὸν κόψῃ ὁ δήμιος. Ἡ
δὲ μακαρία Γαλήνη ἐνταφίασεν εἰς χρυσὸν σεντοῦ-

κι τὸ Ἅγιον Λείψανόν τȣ μὲ πολύτιμα μύρα καὶ ἀρώματα.

Τὸ ὁποῖον πανσεβάσμιον καὶ Ἅγιον Λείψανον τȣ͂ Ἁγίου τούτου, διεμοιράσθη πανταχοῦ εἰς τοὺς Ὀρθοδόξους Χριστιανοὺς χάριν εὐλαβείας, ἀλεξητήριον τῶν δεινῶν, καὶ ἰατρεῖον ἄριστον πάσης νόσȣ, καὶ ἀσθενείας. ἡ δὲ ἁγιωτάτη καὶ πάντιμος αὐτοῦ Κάρα εὑρίσκεται τὴν σήμερον εἰς τὴν ἁγιωτάτην ἐπισκοπὴν τῶν Σταγῶν, εἰς τὸ σεβάσμιον καὶ Ἱερὸν Μοναστήριον, τὸ τιμώμενον ἐπ' ὀνόματι τοῦ Ἁγίου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνȣ Στεφάνου, ὁποῦ εἶναι εἰς τὰ Μετέωρα, καὶ καθ' ἑκάστην τελεῖ πάμπολλα, καὶ παράδοξα Θαύματα. ἰατρεύει νόσους πολυειδεῖς τῶν μετὰ πίστεως καὶ πόθȣ προσιόντων. ἐξαιρέτως δὲ φυλάττει ἀμολύντους καὶ ἀνεπηρεάστȣς ἀπὸ τὴν λοιμικὴν νόσον, ἤγουν ἀπὸ τὴν πανȣ͂κλαν, ἐκείνους ὁπȣ͂ μὲ πόθον καὶ πίστιν ἀδίστακτον φέρȣν ταύτην τὴν Ἁγίαν Κάραν εἰς τὰς πόλεις καὶ χώρας των, καὶ εἰς τὰ ὀσπήτιά τους, καὶ μὲ εὐλάβειαν τὴν κατασπάζονται, κάμνοντες πρῶτον ἁγιασμόν. καὶ ȣ͂τω τῇ τȣ͂ Θεȣ͂ βοηθείᾳ, καὶ τῇ χάριτι τοῦ Μεγαλομάρτυρος διαφυλάττονται ὑγιεῖς καὶ ἀπείρακτοι ἀπὸ τὴν τοιαύτην ἀσθένειαν. Οὕτω δοξάζει, καὶ τιμᾷ ὁ Θεὸς ἐκείνȣς, ὁπȣ͂ κηρύττουν παῤῥησίᾳ τὸ Ἅγιον τὸ ὄνομα ἐνώπιον Βασιλέων καὶ Τυράννων ἀπίστων, καὶ χύνȣν τὸ αἷμά τȣς διὰ τὴν ἀγάπην τοῦ μονογενοῦς αὐτȣ͂ Υἱοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἰς τοῦτον τὸν Κόσμον τȣς δοξάζει καὶ τοὺς μεγαλύνει, καὶ δίδει τὴν χάριν τȣ εἰς τὰ Ἅγιά τȣς λείψανα, διὰ νὰ κάμνȣν παράδοξα Θαύματα, καὶ εἰς τὸν ἄλλον νοερὸν Κόσμον τȣς συναριθμεῖ μὲ τȣς ἀΰλȣς Ἀγγέλους, τȣς κάμνει συγκληρονόμȣς τῆς Βασιλείας τȣ, διὰ νὰ χαίρȣσιν αἰωνίως εἰς τȣς κόλπους τοῦ Πατριάρχου Ἀβραὰμ, εἰς τὰς αἰωνίους σκηνὰς, ἐν τῷ

ἁγιωτάτῳ χορῷ τῶν πρωτοτόκων, ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν εὐδοκίᾳ καὶ χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὧ πρέπει δόξα, τιμή, καὶ προσκύνησις, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας. ΑΜΗΝ.

Ὠδὴ ζ΄. Οἱ Παῖδες ἐν Βαβυλῶνι.

Προσομιλῶν ταῖς βασάνοις, καὶ τῷ πυρὶ λιπαινόμενος, Ἀθλοφόρε Χριστοῦ, ὡς χρυσίου εὐροιζότερος γέγονας, καὶ ἱερὸν ἀνάθημα, ἀληθῶς ἐχρημάτισας.

Τῶν προσευχῶν σου τῇ δρόσῳ, παρανομούντων ἡ κάμινος, κατεσβέσθη σοφέ, καὶ ἐῤῥύσθης μελῳδῶν τῷ ποιήσαντι, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Τῇ παρατάσει τῶν ἄθλων, δένδρον ἐφάνης ὑψίκομον, συσκιάζον πιστούς, ἐκ φλογώδους ἁμαρτίας κραυγάζοντας· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἡ τὴν χαρὰν δεξαμένη, ἐν τῇ πανάγνῳ νηδύϊ σου Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου πλήρωσον, τὸ κατηφὲς διώκουσα τῶν παθῶν, Ἀειπάρθενε.

Ἄλλος. Οὐκ ἐλάτρευσαν τῇ Κτίσει.

Ὑμνοῦμέν σε βοῶντες, χαίροις ἔνδοξε, Μάρτυς ΧΑΡΑΛΑΜΠΕΣ, τὴν θείαν Κάραν σου γάρ, ἡμῖν σὺ δεδώρησαι ὡς κρήνην βρύουσαν, πλοῦτον ἄσυλον, τὸν τὰς ψυχὰς εὐφραίνοντα, τῶν πιστῶς σε δοξαζόντων.

Μεγαλύνομεν τοὺς ἄθλους σου, Θεσπέσιε Μεγαλομάρτυς Χριστοῦ, καὶ τοὺς ἀγῶνας τοὺς σούς. εἰδώλων σεβάσματα γὰρ καταβέβληκας, καὶ κατήργησας, τὴν τῶν δαιμόνων ἅπασιν, παναοίδιμε γενναίως.

Ὡς Φωστὴρ ἀειλαμπέστατος ἀνέτειλεν, ἡμῖν ἡ Κάρα σου, τῆς πλάνης τῆς ζοφερᾶς, κινδύνων καὶ θλί-

ψεων ἡμᾶς ἐξαίρουσα, νοσημάτων τε τῶν ὀλεθρίων ῥύεται, καὶ δωρεῖται τὴν ὑγείαν. Θεοτοκίον.

Ἀνατέταλκεν ὁ μέγας, καὶ ἀνέσπερος Ἥλιος πᾶσι βροτοῖς, ἐκ τῆς νηδύος τῆς σῆς, καὶ πάντας ἐφώτισε φωτὶ τῆς γνώσεως, τοὺς κραυγάζοντας, εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ταῖς ῥοαῖς τῶν αἱμάτων ἐπιστάζόμενος, τῶν στιγμάτων τῷ κάλλει ὡραϊζόμενος, τῷ νικητικῷ, εὐπρεπῶς διαδήματι, κεκαλλωπισμένος Θεῷ παρέστης Μάρτυς.

Τῶν βασάνων τὰ πλήθη οὐ κατεκάλυψαν, τὴν ἀνδρείαν σου Μάρτυς καὶ γενναιότητα, καὶ τῶν διωκτῶν, οὐκ ἠμαύρωσεν ἔνστασις, σοῦ τὴν λαμπροτάτην, Θεόφρον καρτερίαν.

Ἱερεύς τε καὶ Μάρτυς ἀκαταγώνιστος, στρατιώτης γενναῖος, καὶ στύλος ἄσειστος, ἔρεισμα πιστῶν, ἀσεβείας ἀντίπαλος ὄντως ἀνεδείχθης Θεόφρον Ἀθλοφόρε.

Θεοτοκίον.

Ὁ τὰ πάντα ποιήσας θείῳ βουλήματι, βουληθεὶς ἐν γαστρί σου ᾤκησεν Ἄχραντε, ῥύσαντα ἡμᾶς, ἀναπλάσαι βουλόμενος, ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Μέγας ἀρωγὸς τῶν Ὀρθοδόξων, καὶ ῥύστης ἐκ τῶν κινδύνων ἀναδέδειξαι, πάνσοφε Χαράλαμπες· ῥύεσαι γὰρ πάντοτε, πάντας τοὺς προστρέχοντας, τῇ σεπτῇ Κάρᾳ σου, καὶ λύσιν τῶν κακῶν αἰτουμένους, καὶ ὑπερυψοῦντας Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἔστης ἐν σταδίῳ τοῦ Σεβήρου, στερέμνιος οἷά περ ἀδάμας τις, στύλος τ' ἀπερίτρεπτος, ἔνδοξε Χαράλαμπες, καὶ τὸν Χριστὸν ἐκήρυξας Θεὸν καὶ ἄνθρωπον, καὶ ὅλως

οὐχ ὑπέκλινας Μάκαρ, ταῖς τῶν παλαμναίων θωπείαις θυμοβόροις.

Λῦσον τὰς σειράς μου τῶν πταισμάτων, ὑμνοῦντος τὴν Κάραν σου Χαράλαμπες, τὴν ἀεὶ πηγάζουσαν, νάματα ἰάσεων, ἀμπλακημάτων ἄφεσιν ἐμοὶ δωρούμενος, δεινῆς τε ἀπολύτρωσιν νόσου, σὲ ὑμνολογοῦντι εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ῥόδον ἐν ἀκάνθαις εὑρηκώς σε, καὶ ἄνθος ἐν ταῖς κοιλάσι τὸ πανεύοσμον, κρίνον τε πανάσπιλον, Δέσποινα Θεόνυμφε, ὁ σὸς Νυμφίος ἄνωθεν ἐν σοὶ ἐσκήνωσε, καὶ Κόσμον εὐωδίασε πάντα, σὲ ὑπερυψοῦντα εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Οὐ πῦρ, οὐ ξίφος, ἀλλ' οὐδὲ θάνατος, οὐ διωγμὸς, οὐ θλῖψις, οὐ λιμὸς, οὐδὲ κίνδυνος, οὐ βασάνων παντοίων ἐπίνοια, ἴσχυσε τῆς ἀγάπης ὄντως χωρίσαι σε, τοῦ πεποιηκότος, Ἀθλητὰ ἀξιοθαύμαστε.

Ζεσμοῖς ὀνύχων τοὺς τῆς νεκρώσεως, ἀποβαλὼν χιτῶνας ταῖς στολαῖς ταῖς ἐξ αἵματος, σεαυτὸν Ἀθλοφόρε ἐκόσμησας. ὅθεν σὺν παῤῥησίᾳ, Μάρτυς ἀήττητε, πάντων τῷ Δεσπότῃ καὶ Θεῷ χαίρων παρίστασαι.

Χαρᾶς καὶ πλήρης θείας λαμπρότητος, παρεκτικὴ ἡ μνήμη σου τῷ Κόσμῳ ἀνέτειλε, τῶν παθῶν τὸν χειμῶνα διώκουσα, πάντας φωταγωγοῦσα. ἣν ἑορτάζοντες, τύχοιμεν πταισμάτων ἱλασμὸν ταῖς ἱκεσίαις σου.

Θεοτοκίον.

Παθῶν κλυδώνιον συνταράσσει με, καὶ τῶν κακῶν βυθίζει τρικυμία Πανάμωμε, κυβερνήτην Χριστὸν ἡ κυήσασα· χεῖρά μοι βοηθείας, ἔκτεινον σῶσόν με, μόνη προστασία τῶν πιστῶς μακαριζόντων σε.

Ἄλλος. Ἅπας γηγενής.

Ἅπαντες πιστοὶ, τῇ Κάρᾳ προσέλθωμεν τοῦ σεπτοῦ Μάρτυρος, πάντων ὁ δεσπόζων γὰρ, μεγίστην χάριν ταύτῃ παρέσχετο· ὅθεν ἐλαύνει δαίμονας, παύει νοσήματα, καὶ δωρεῖται πᾶσι τοῖς προσψαύουσιν, εὐεξίαν καὶ ῥῶσιν καὶ ἔλεος.

Γῆ καὶ Οὐρανὸς, ἐξίστανται σήμερον ἐπὶ τὰ Θαύματα, τοῦ Μεγαλομάρτυρος. δαιμόνων στίφη γὰρ ἐκδιώκονται, καὶ τοῖς μισοῦσι δέδοται ῥῶσις τοῦ σώματος, καὶ λοιμώδης νόσος καταπαύεται, τῇ προσψαύσει τῆς Κάρας σου ἔνδοξε.

Στῶμεν εὐλαβῶς, ἐν Οἴκῳ Θεοῦ ἡμῶν, καὶ προσκυνήσωμεν, Κάραν τὴν σεβάσμιον, τὴν ὄντως θείαν καὶ ἀξιέπαινον, τὴν φοινιχθεῖσαν αἵματι τοῦ θείου Μάρτυρος καὶ τελοῦσαν θαύματα παράδοξα, ὡς στεφθεῖσαν χειρὶ παντοκράτορος.

Θεοτοκίον.

Ὕμνους παρ᾽ ἡμῶν, προσδέχου Θεόνυμφε Θεοχαρίτωτε. Μῆτερ τοῦ Θεοῦ ἡμῶν, καὶ τὴν σὴν χάριν ἀντιδεδώρησαι, τοῖς εὐλαβῶς σε μέλπουσιν ἡμῖν τοῖς δούλοις σου. τὸν Χριστὸν δὲ, ὃν ἀῤῥήτως τέτοκας, ἡμῖν ἵλεων Κόρη ἀπέργασαι.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἐνθέως πυρσούμενος, τῷ πόθῳ τοῦ παντάνακτος, τὸν ὑπερήφανον ὄφιν, ἀνδρείως Μάκαρ καθεῖλες, καὶ Τύραννον ἀπάνθρωπον, Σεβῆρον τὸν παράφρονα, ἤλεγξας ὦ Χαράλαμπες, καὶ μισθὸν ἐκομίσω, παρὰ τοῦ πάντων Δεσπότου.

Θεοτοκίον.

Μαρία καταφύγιον, Χριστιανῶν τὸ καύχημα, φύλαττε, σκέπε σοὺς δούλους, ἐκ πάσης βλάβης ἀ-

πρώτους, κινδύνων τ' ἔξελε ἡμᾶς, τοὺς πόθῳ εὐφημοῦντάς σε, καὶ πάσης περιστάσεως, ταῖς σαῖς πρεσβείαις χρωμένη, πρὸς τὸν Υἱὸν καὶ Θεόν σου.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή. Ἵστωμεν στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια γ'. δευτεροῦντες τὸ α'. Ἦχος α'.

Τῶν Οὐρανίων ταγμάτων.

Οἱ τῆς Ἑλλάδος νῦν παῖδες δεῦτε συνδράμετε, καὶ τὴν τιμίαν Κάραν κατασπάσασθε πάντες, τοῦ Θείου Χαραλάμπους τὴν τὸν Χριστὸν, ἐν σταδίῳ κηρύξασαν, καὶ ἀπελέγξασαν πλάνην τῶν δυσσεβῶν, καὶ τὸν Κτίστην μεγαλύνασαν.

Τοῖς Οὐρανίοις Ἀγγέλοις νῦν συνηρίθμησαι, καὶ παρεστὼς Τριάδι, τῇ Ἁγίᾳ Τρισμάκαρ, αὐτὴν καθικετεύεις ὑπὲρ ἡμῶν, τῶν ἐν Πίστει τιμώντων σου, τὴν πανσεβάσμιον Κάραν, καὶ τῶν δεινῶν, αἰτουμένων ἀπολύτρωσιν.

Λαμπροφανὴς καὶ πανένδοξος ἀνατέταλκεν, ἐν τῇ Ἑλλάδι πάσῃ, ἡ πανέορτος μνήμη, τοῦ Θείου Χαραλάμπους. διόπερ λαμπρῶς ἑορτάζει κατέχουσα, τὴν πανσεβάσμιον Κάραν, τὴν τὸν Χριστὸν, ὡς Θεάνθρωπον κηρύξασαν.

Δόξα. Ἦχος πλ. α'.

Ὥσπερ ἀλάβαστρον πλῆρες, ἡ τιμία σου Κάρα Θεσπέσιε προχέει, οἷόν τι μύρον πολύτιμον τὰ ἰάματα, τούς τε πιστοὺς εὐωδιάζει θαυμασίως, καὶ τοὺς μετὰ πίστεως αὐτῇ προσιόντας τῶν δεινῶν ἀπαλλάττεται, τὴν δυσώδη τε πλάνην καὶ νόσους παντοίας, καὶ τὴν πανώλην λοιμικὴν καταπαύουσα, εὐρωστίαν δωρεῖται πᾶσι, καὶ εἰρήνην καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις. Δίδοται δὲ καὶ Ἅγιον Ἔλαιον τοῖς Ἀδελφοῖς.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος. Ὠδὴ γ΄. καὶ ϛ΄.

Ὁ Ἀπόστολος. Προκείμενον. Ἦχος βαρύς. Εὐφρανθήσεται δίκαιος.
Στ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.
Πρὸς Τιμόθεον β΄. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι.
Ἀλληλούϊα. Ἦχος δ΄. Δίκαιος ὡς φοίνιξ.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος, ταῦτα ἐντέλλομαι ὑμῖν.
Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

ΤΕΛΟΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ